O Fili Cliniæ, admirari te arbitror, quod cum primus *ipſe omnium* amare te cæperim, cæteris alienatis, ſolus *in iſta benevolentia* perſeverem: quodque cum amatores reliqui frequentiori conſuetudine tibi aſſidue moleſti fuerint, ego tot annis ne compellarim quidem. Hujus autem rei cauſa non humana, ſed vis dæmonii repugnans quæ-

μόνιον ἐναντίωμα, οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσῃ. νῦν δ' ἐπειδὴ οὐκέτι ἐναντιοῦται, οὕτω προσελήλυθα· εὔελπις δέ εἰμι, καὶ τὸ λοιπὸν μὴ ἐναντιώσεσθαι αὐτό. σχεδὸν οὖν κατανενόηκα ἐν τούτῳ τῷ χρόνῳ σκοπούμενος, ὡς πρὸς τοὺς ἐραστὰς ἔσχες. πολλῶν γὰρ γενομένων καὶ μεγαλοφρόνων, οὐδεὶς ὃς οὐχ ὑπερβληθεὶς τῷ φρονήματι ὑπὸ σοῦ πέφευγε. τὸν δὲ λόγον ᾧ ὑπερπεφρόνηκας ἐθέλω διελθεῖν. οὐδενὸς φὴς ἀνθρώπων ἐνδεὴς εἶναι εἰς οὐδέν· τὰ γὰρ ὑπάρχοντά σοι μεγάλα εἶναι, ὥστε μηδενὸς δεῖσθαι, ἀπὸ τοῦ σώματος ἀρξάμενα τελευτῶντα εἰς τὴν ψυχήν. οἴει γὰρ δὴ εἶναι πρῶτον μὲν κάλλιστός τε καὶ μέγιστος· (καὶ τοῦτο μὲν δὴ παντὶ δῆλον ἰδεῖν, ὅτι οὐ ψεύδῃ) ἔπειτα νεανικωτάτου γένους ἐν τῇ σεαυτοῦ πόλει, οὔσῃ μεγίστῃ τῶν Ἑλληνίδων· καὶ ἐνταῦθα πρὸς πατρός τε σοὶ φίλους καὶ συγγενεῖς πλείστους εἶναι καὶ ἀρίστους, οἳ εἴ τι δέοι ὑπηρετοῖεν ἄν σοι· τούτων

dam fuit, cujus potentiam in ſequentibus audies. Nunc vero cum non ultra repugnet, huc tandem *ad te* acceſſi. Spero autem nec in poſterum nobis illud adverſaturum. Toto itaque hoc tempore *mecum* conſiderando ferme intellexi quo pacto ergo tuos amatores te gereres. Cum enim multi eſſent & ſuperbi, nemo *tamen* illorum fuit, quin faſtu abs te ſuperatus abiret. Quam vero ob cauſam illos contempſeris, explicabo. Ais enim te nulla in re hominibus aliis indigere; quippe quæ tibi inſunt, ita eſſe præclara, ut nec ad corporis, nec ad animi bona cujuſquam egeas. Exiſtimas enim te in primis procero atque decoro corporis habitu plurimum excellere. Et ſane cuivis perſpicuum eſt, te non mentiri. Præterea genere maxime animoſo ortum te prædicas in hac civitate Græcarum ampliſſima: ex paterno quidem genere amicos atque cognatos eſſe quam plurimos & optimos viros, qui tibi omnia, cum opus fuerit, ſubminiſtrare poſſint. Maternos

δὲ σοῦ πρὸς μητρὸς οὐδὲ χείρους οὐδ' ἐλάττους. ξυμπάντων δὲ ὧν εἶπον μείζω οἴει σοι δύναμιν ὑπάρχειν, Περικλέα τὸν Ξανθίππου, ὃν ὁ πατὴρ ἐπίτροπον κατέλιπε σοί τε καὶ τῷ ἀδελφῷ· ὃς οὐ μόνον ἐν τῇδε τῇ πόλει δύναται πράττειν ὅ, τι ἂν βούληται, ἀλλ' ἐν πάσῃ τῇ Ἑλλάδι, καὶ τῶν βαρβάρων ἐν πολλοῖς καὶ μεγάλοις ἔθνεσι. προσθήσω δὲ καὶ ὅτι τῶν πλουσίων· δοκεῖς δέ μοι ἐπὶ τούτῳ ἥκιστα μεγαλοφρονεῖν. κατὰ πάντα δὴ ταῦτα σύ τε μεγαλαυχούμενος κεκράτηκας τῶν ἐραστῶν, ἐκεῖνοί τε ὑποδεέστεροι ὄντες ἐκρατήθησαν· καί σε ταῦτ' οὐ λέληθεν. ὅθεν δὴ εὖ οἶδα ὅτι [1] θαυμάζοις, τί διανοούμενός ποτε οὐκ ἀπαλλάττομαι τοῦ ἔρωτος, καὶ ἥντιν' ἔχων ἐλπίδα ὑπομένω, τῶν ἄλλων πεφευγότων. ΑΛΚ. Καὶ ἴσως γε, ὦ Σώκρατες, οὐκ οἶσθ', ὅτι σμικρόν με ἔφθης. ἐγὼ γάρ τοι ἐν νῷ εἶχον, πρότερός σοι προσελθὼν ταυτὰ ταῦτ' ἐρέσθαι, τί ποτε βούλει; καὶ εἰς

quoque nec his inferiores, neque etiam pauciores. Sed multo majorem ex his omnibus autoritatem afferre tibi ad res agendas Periclem Xanthippi filium, quem quidem pater tuus tutorem tibi fratrique reliquit, qui non in hac civitate ſolum, quæcunque vult, poteſt, ſed in omni Græcia & in multis etiam ac magnis barbarorum gentibus. Addam quoque *te* ex divitibus *ortum:* quanquam videris in iis minime omnium gloriari. Horum omnium cauſa faſtu elatus, amatores omnes tuos edomuiſti, & illi utpote inferiores tibi ceſſerunt. Neque vero iſta te latuere. Quamobrem ſatis ſcio admirari te, quo animo in amore perſeverarim, quamve ſpem conceperim, qui cæteris fugientibus omnium ſolus perſtiti. A L C. At iſtud forte neſcis, O Socrates, te nunc me paulo prævenisse. Venerat enim in animum mihi, ut te prior adortus hæc eadem te rogarem, Quidnam vis? Qua tandem ſpe mi-

1 F. θαυμάζεις. *Ita MS.*

τίνα ἐλπίδα βλέπων ἐνοχλεῖς με, ἀεὶ ὅπου ἂν ὦ ἐπιμελέστατα παρών; τῷ ὄντι γὰρ θαυμάζω ὅ, τί ποτ᾽ ἐστὶ τὸ σὸν πρᾶγμα, καὶ ἥδιστ᾽ ἂν πυθοίμην. ΣΩΚ. Ἀκούσῃ μὲν ἄρα μου, ὡς τὸ εἰκός, προθύμως, εἴπερ, ὡς φῂς, ἐπιθυμεῖς εἰδέναι, καὶ ἀκοῦσαι, τί διανοοῦμαι· ὡς [1] ἀκουσομένῳ καὶ περιμενοῦντι λέγω. ΑΛΚ. Πάνυ μὲν οὖν· ἀλλὰ λέγε. ΣΩΚ. Ὅρα δή· οὐ γάρ τοι εἴη ἂν θαυμαστόν, εἰ ὥσπερ μόγις ἠρξάμην, οὕτω μόγις καὶ παυσαίμην. ΑΛΚ. Ὠ᾽γαθὲ λέγε· ἀκούσομαι γάρ.

β΄. ΣΩΚ. Λεκτέον ἂν εἴη. χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἥττονα ἐραστῶν προσφέρεσθαι ἐραστῇ· ὅμως δὲ τολμητέον φράσαι τὴν ἐμὴν διάνοιαν. ἐγὼ γὰρ, ὦ Ἀλκιβιάδη, εἰ μέν σε ἑώρων ἃ νῦν δὴ διήλθομεν ἀγαπῶντα, καὶ οἰόμενον δεῖν ἐν τούτοις καταβιῶναι, πάλαι ἂν ἀπηλλάγμην τοῦ ἔρωτος, ὥς γε δὴ ἐμαυτὸν πείθω· νῦν δὲ ἕτερα αὖ κατηγορήσω διανοήματα

hi moleſtus es, qui ſemper, ubicunque ſum, accuratiſſime ades? Revera enim quod ſit conſilium tuum admiror, illudque libenter audirem. SOC. Audies igitur hoc a me alacriter, ut veriſimile eſt; ſi quidem, ut ais, noſſe & audire deſideras quid cogitem; & tanquam expectanti & auſcultaturo id referam. ALC. Et maxime quidem, dicas modo. SOC. Vide itaque; neque enim mirum videri debet, ſi, quemadmodum ægre incepi, ita ægre deſinam. ALC. Age, dic modo, audiam enim.

2. SOC. Dicendum eſt profecto. Difficile quidem eſt amatori cum eo, qui amicorum nulli demittat ſe, colloquium inire. Audendum tamen, ſenſentiaque mea exprimenda. Equidem, O Alcibiades, ſi te cognoviſſem, iis rebus quas ſupra narravimus eſſe contentum, vitamque in illis tuam tranſigere velle, dudum amorem erga te meum (ut mihi perſuadeo) depoſuiſſem. Nunc autem alias quaſdam tuas de teipſo cogitationes indicabo

1 F. ὡς γάρ.

σοὶ πρὸς αὐτόν σε· ᾧ καὶ γνώσῃ, ὅτι προσέχων γέ σοι τὸν νοῦν διατετέλεκα. δοκεῖ γάρ μοι, εἴ τις σοι εἴποι θεῶν, Ὦ Ἀλκιβιάδη, πότερον βούλει ζῆν ἔχων ἃ νῦν ἔχεις, ἢ αὐτίκα τεθνάναι, εἰ μή σοι ἐξέσται μείζω κτήσασθαι; [1] δοκῆς ἄν μοι ἑλέσθαι τεθνάναι· ἀλλὰ νῦν ἐπὶ τίνι δή ποτε ἐλπίδι ζῇς, ἐγὼ φράσω. ἡγῇ ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς (τοῦτο δὲ ἔσεσθαι μάλα ἡμερῶν ὀλίγων) παρελθὼν δὲ ἐνδείξασθαι Ἀθηναίοις ὅτι ἄξιος εἶ τιμᾶσθαι, ὡς οὔτε Περικλῆς, οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων· καὶ τοῦτο ἐνδειξάμενος, μέγιστον δυνήσεσθαι ἐν τῇ πόλει· ἐὰν δ' ἐνθάδε μέγιστος ᾖς, καὶ ἐν τοῖς ἄλλοις· καὶ οὐ μόνον ἐν Ἕλλησιν, ἀλλὰ καὶ ἐν τοῖς βαρβάροις, ὅσοι ἐν τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ. καὶ εἰ αὖ σοι εἴποι ὁ αὐτὸς οὗτος θεὸς, ὅτι αὐτοῦ σε δεῖ δυναστεύειν ἐν τῇ Εὐρώπῃ, διαβῆναι δὲ εἰς τὴν Ἀσίαν οὐκ ἐξέσται σοι, οὐδὲ ἐπιθέσθαι τοῖς ἐκεῖ

tibi, ut intelligas, quo minus tibi mentem adhiberem me nunquam deſtitiſſe. Videris mihi ſane, ſi quis Deus dixerit, O Alcibiades, Nunquid vivere vis ea ſola poſſidens quæ nunc habes ; an ſtatim obire, niſi præſtantiora quædam aſſequi liceat ? mortem potius videris electurus. At vero qua nunc ſpe vitam agas, aperiam ; putas enim ſi mox in Athenienſis populi concionem aſcenderis, quod quidem paucos poſt dies futurum exiſtimas, Athenienſibus demonſtraturum te majori dignum eſſe honore, quam aut Pericles, aut alius quiſquam fuerit eorum, qui ſuperioribus ſeculis floruerunt : quod ſi oſtenderis, maximam te in hac civitate potentiam aſſecuturum. Quod ſi plurimum hac in urbe poſſis, omnium quoque Græcorum, atque etiam Barbarorum quicunque eandem, quam nos, incolunt continentem, clariſſimum futurum. Quod ſi Deus idem imperium Europæ conceſſerit, tranſire tamen in Aſiam, & iſtic imperium affectare vetuerit,

1 F. δοκεῖς. *Ita MS.*

πράγμασιν, οὐκ ἂν αὖ δοκεῖς μοι ἐθέλειν οὐδὲ ἐπὶ τούτοις μόνοις ζῆν, εἰ μὴ ἐμπλήσεις τοῦ σοῦ ὀνόματος καὶ τῆς σῆς δυνάμεως πάντας, ὡς ἔπος εἰπεῖν, ἀνθρώπους. καὶ οἶμαί σε πλὴν Κύρου καὶ Ξέρξου ἡγεῖσθαι οὐδένα ἄξιον λόγου γεγονέναι. ὅτι μὲν οὖν ταύτην τὴν ἐλπίδα ἔχεις, εὖ οἶδα καὶ οὐκ εἰκάζω.

γʹ. Ἴσως οὖν ἂν εἴποις, ἅτε εἰδὼς ὅτι ἀληθῆ λέγω, Τί δὴ οὖν, ὦ Σώκρατες, τοῦτ' ἐστί σοι πρὸς λόγον ὃν ἔφησθα ἐρεῖν, [1]διὸ ἐμοῦ οὐκ ἀπαλλάττῃ; Ἐγὼ δή σοι γε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης. τούτων γάρ σοι ἁπάντων τῶν διανοημάτων τέλος ἐπιτεθῆναι ἄνευ ἐμοῦ ἀδύνατον· τοσαύτην ἐγὼ οἶμαι δύναμιν ἔχειν εἰς τὰ σὰ πράγματα καὶ εἰς σέ. διὸ δὴ καὶ πάλαι οἶμαί με τὸν θεὸν οὐκ ἐᾶν διαλέγεσθαί σοι, ὃν ἐγὼ περιέμενον ὁπηνίκα ἐάσει. ὥσπερ γὰρ σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει ἐνδείξασθαι ὅτι αὐτῇ παντὸς ἄξιος εἶ, ἐνδειξάμενος δὲ, ὅτι οὐδὲν ὅ, τι

nondum electurus mihi videris his tantummodo conditionibus vitam degere, nisi nomine tuo & potentiâ omnia, ut verbo dicam, hominum genera impleveris. Teque arbitror, præter Cyrum ac Xerxem, neminem memoria dignum æstimare. Quod igitur hujusmodi spe nutriris, non conjecto equidem, sed pro certo scio.

3. Dices forte, utpote conscius me vera dixisse, Quid hæc, O Socrates, ad eam rationem quam te prolaturum dicebas, *nempe* cur me nondum deseruisti? Dicam, O amice Cliniæ & Dinarchæ fili: has cogitationes tuas ad optatum finem perducere absque me minime potes: usque adeo in te ac tua negotia me posse confido. Quapropter Deum ipsum censeo non permisisse olim me tecum disserere, quem ego expectavi donec permitteret. Ut enim tu speras civitati tuæ ostendere posse omni te apud eam honore dignum esse, atque his demonstratis nihil adeo magnum restare, quod non statim conficere possis: sic & ipse

1 F. δι' ὅν. *Ita MS.*

οὐ παραυτίκα δυνήσεσθαι· οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω μέγιστον δυνήσεσθαι, ἐνδειξάμενος ὅτι παντὸς μᾶλλον ἄξιός εἰμι, καὶ οὔτ' ἐπίτροπος, οὔτε συγγενὴς, οὔτε ἄλλος οὐδεὶς ἱκανὸς παραδοῦναι τὴν δύναμιν ἧς ἐπιθυμεῖς, πλὴν ἐμοῦ, μετὰ θεοῦ μέντοι. νεωτέρῳ μὲν οὖν ὄντι σοι, καὶ πρὶν τοσαύτης ἐλπίδος γέμειν, ὡς ἐμοὶ δοκεῖ, οὐκ εἴα ὁ θεὸς διαλέγεσθαι, ἵνα μὴ μάτην διαλεγοίμην, νῦν δὲ ἐφῆκε· νῦν γὰρ ἄν μου ἀκούσαις. ΑΛΚ. Πολύ γέ μοι, ὦ Σώκρατες, νῦν ἀτοπώτερος φαίνῃ, ἐπειδὴ ἤρξω λέγειν, ἢ ὅτε σιγῶν εἵπου· καίτοι σφόδρα γε ἦσθα ἰδεῖν καὶ τότε τοιοῦτος. εἰ μὲν οὖν ἐγὼ ταῦτα διανοοῦμαι ἢ μὴ, ὡς ἔοικε, διέγνωκας· καὶ ἐὰν μὴ φῶ, οὐδέν μοι ἔσται πλέον πρὸς τὸ πείθειν σε. εἶεν. εἰ δὲ δὴ ὅτι μάλιστα ταῦτα διανενόημαι, πῶς διὰ σοῦ μοι ἔσται, καὶ ἄνευ σοῦ οὐκ ἂν γένοιτο; ἔχεις λέγειν; ΣΩΚ. Ἆρα ἐρωτᾷς, εἴ τινα ἔχω εἰπεῖν λόγον μακρὸν, οἵους δὴ ἀκούειν εἴθισαι;

plurimum apud te poſſe confido, quum primum oſtendero cunctis me digniorem eſſe: & neque tutorem, neque cognatum, neque alium quempiam præter unicum me, Deo favente, tibi eam potentiam, quam deſideras, traditurum. Quamdiu igitur eras junior, necdum in ſpem tantam veneras, mea quidem ſententia, Deus *me* tecum diſputare prohibuit, ne fruſtra contenderem: nunc vero impulit: nunc enim me audieris. ALC. Longe mihi nunc abſurdior videris, O Socrates, poſtquam loqui mecum cœpiſti, quam dum tacitus me ſequebaris; quanquam etiam tunc aſpectu talis maxime videbare. Utrum igitur ego hæc mente verſem necne, ita, ut videtur, pernoviſti, ut ſi etiam negem, nihil tamen ulterius proficiam ad ſuadendum. Eſto. Verum ſi hæc ipſa maxime intendo, quonam modo per te conſequar, nec ſine te iſta perficientur? poteſne dicere? SOC. Interrogaſne an prolixum ſermonem incepturus ſim, quales audire ſolitus es?

οὐ γὰρ ἐστι τοιοῦτον τὸ ἐμόν. Ἀλλ' ἐνδείξασθαι μέν σοι ὡς ἐγᾦμαι οἷός τ' ἂν εἴην, ὅτι ταῦτα οὕτως ἔχει, ἐὰν ἓν μόνον μοι ἐθελήσῃς βραχὺ ὑπηρετῆσαι. ΑΛΚ. Ἀλλ' εἴγε δὴ μὴ χαλεπόν τι λέγεις τὸ ὑπηρέτημα, ἐθέλω. ΣΩΚ. Εἰ χαλεπὸν δοκεῖ τὸ ἀποκρίνασθαι τὰ ἐρωτώμενα; ΑΛΚ. Οὐ χαλεπόν. ΣΩΚ. Ἀποκρίνου δή. ΑΛΚ. Ἐρώτα. ΣΩΚ. Οὐκοῦν ὡς διανοουμένου σου ταῦτα ἐρωτῶ, ἃ φημί σε διανοεῖσθαι; ΑΛΚ. Ἔστω, εἰ βούλει οὕτως· ἵνα καὶ εἰδῶ, ὅ, τι καὶ ἐρεῖς.

δ'. ΣΩΚ. Φέρε δή· διανοῇ γὰρ, ὡς ἐγώ φημι, παριέναι συμβουλεύσων Ἀθηναίοις, ἐντὸς οὐ πολλοῦ χρόνου. εἰ οὖν μέλλοντός σου ἰέναι ἐπὶ τὸ βῆμα, λαβόμενος ἐροίμην, Ω Ἀλκιβιάδη, ἐπειδὴ περὶ τίνος Ἀθηναῖοι διανοοῦνται βουλεύεσθαι, ἀνίστασαι συμβουλεύσων; ἆρ' ἐπειδὴ περὶ ὧν σὺ ἐπίστασαι βέλτιον ἢ οὗτοι; τί ἂν ἀποκρίναιο; ΑΛΚ. Εἴποιμ' ἂν δέ που, περὶ ὧν οἶδα βέλτιον ἢ οὗτοι. ΣΩΚ. Περὶ ὧν ἄρ' εἰδὼς τυγχάνεις, ἀγαθὸς ξύμ-

Neque vero id mei moris est. Atqui demonstrare tibi possum, ut arbitror, hæc ita se habere, modo in hoc uno duntaxat mihi paulisper obsequi velis. ALC. Nisi durum obsequium est, volo. SOC. Num difficile tibi videtur ad interrogata respondere? ALC. Nequaquam. SOC. Responde igitur. ALC. Interroga. SOC. An te interrogem tanquam ea, quæ cogitare te dixi, cogitantem? ALC. Esto, si placet, ut tandem quid dicturus es sciam.

4. SOC. Age itaque, cogitas enim, ut supra dixi, brevi adire Atheniensem populum, aliqua de re cum iis consultaturus. Si igitur te ad concionem iturum ego obvius interrogem, O Alcibiades, de qua re deliberantibus Atheniensibus, tu etiam simul deliberaturus assurgis? Utrum de iis quæ tu melius, quam illi, calles? Quid responderes ad hæc? ALC. Responderem sane, de iis quæ melius novi ego, quam illi. SOC. Quæ igitur nosti,

βουλος εἶ; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Οὐκοῦν ταῦτα μόνον οἶσθα, ἃ παρ' ἄλλων ἔμαθες, ἢ αὐτὸς ἐξεῦρες; ΑΛΚ. Ποῖα γὰρ ἄλλα; ΣΩΚ. Ἐστὶν οὖν ὅπως ἄν ποτε ἔμαθές τι, ἢ ἐξεῦρες, μήτε μανθάνειν ἐθέλων, μήτε αὐτὸς ζητεῖν; ΑΛΚ. Οὐκ ἔστι. ΣΩΚ. Τί δέ; ἠθέλησας ζητῆσαι ἢ μαθεῖν, ἃ ἐπίστασθαι ᾤου; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἆρ' ἃ νῦν τυγχάνεις ἐπιστάμενος, ἦν χρόνος ὅτε οὐχ ἡγοῦ εἰδέναι; ΑΛΚ. Ἀνάγκη. ΣΩΚ. Ἀλλὰ μὴν ἅγε μεμάθηκας, σχεδόν τι καὶ ἐγὼ οἶδα· εἰ δέ τι ἐμὲ λέληθεν, εἰπέ. ἔμαθες γὰρ σύ γε (κατὰ μνήμην ἐμὴν) γράμματα, καὶ κιθαρίζειν, καὶ παλαίειν· οὐ γὰρ δὴ αὐλεῖν γε ἤθελες μαθεῖν. ταῦτ' ἐστὶν ἃ σὺ ἐπίστασαι, εἰ μή πού τι μανθάνων ἐμὲ λέληθας· οἶμαι δὲ οὔτε γε νύκτωρ, οὔτε μεθ' ἡμέραν ἐξιὼν ἔνδοθεν. ΑΛΚ. Ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλων, ἢ τούτων.

ε'. ΣΩΚ. Πότερον οὖν ὅταν περὶ γραμμάτων Ἀθηναῖοι

de iis quoque es conſultor bonus? ALC. Quidni? SOC. Nonne hæc ſola cognoſcis, quæ ab aliis didiciſti, vel ipſe per te inveniſti? ALC. Quæ enim alia? SOC. Eſtne aliquid quod didiceris unquam vel inveneris, niſi vel diſcere vel ipſe invenire velles? ALC. Non eſt. SOC. Nunquid voluiſti unquam inquirere ſive diſcere quæ te ſcire putabas? ALC. Nunquam. SOC. Quæ nunc ſcis, fuit quandoque tempus quando te ignorare putabas? ALC. Neceſſe eſt. SOC. Atqui quæ didiciſti, ferme & ipſe cognovi: quod ſi quid me fugerit, dicas. Didiciſti enim, ut memini, literas, citharam pulſare, palæſtram: nam tibia canere noluiſti. Hæc ſunt quorum tu ſcientiam habes: niſi forte aliquid me inſcio didiceris, puto autem nec noctu, neque diu exiſſe te domo *me inſcio*. ALC. Nullos præterquam horum *trium* præceptores audivi.

5. SOC. Num itaque ſi quando Athenienſes de literis conſultabunt, *ſcilicet* quo pacto

βούλωνται, πῶς ἂν ὀρθῶς γράφοιεν, τότε ἀναστήσῃ αὐτοῖς συμβουλεύσων; ΑΛΚ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩΚ. Ἀλλ' ὅταν περὶ κρουμάτων ἐν λύρᾳ; ΑΛΚ. Οὐδαμῶς. ΣΩΚ. Οὐδὲ μὴν οὐδὲ περὶ παλαισμάτων γε εἰώθασι βουλεύεσθαι ἐν τῇ ἐκκλησίᾳ. ΑΛΚ. Οὐ μέν τοι. ΣΩΚ. Οταν οὖν περὶ τίνος βουλεύωνται; οὐ γάρ που, ὅταν γε περὶ οἰκοδομίας. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οἰκοδόμος γὰρ ταῦτά γε σοῦ βέλτιον συμβουλεύσει. ΑΛΚ. Ναί. ΣΩΚ. Οὐδὲ μὴν ὅταν περὶ μαντικῆς βουλεύωνται. ΑΛΚ. Οὐ. ΣΩΚ. Μάντις γὰρ αὖ ταῦτα ἄμεινον, ἢ σύ. ΑΛΚ. Ναί. ΣΩΚ. Εάν τέ γε σμικρὸς ἢ μέγας ᾖ, ἐάν τε καλὸς ἢ αἰσχρός, ἔτι τε γενναῖος ἢ ἀγενής. ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Εἰδότος γὰρ οἶμαι περὶ ἑκάστου ἡ συμβουλή, καὶ οὐ πλουτοῦντος. ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Ἀλλ' ἐάν τε πένης, ἐάν τε πλούσιος ᾖ ὁ παραινῶν, οὐδὲν διοίσει Ἀθηναίοις, ὅταν περὶ τῶν ἐν τῇ πόλει βουλεύωνται, πῶς ἂν ὑγιαίνοιεν, ἀλλὰ ζητήσουσιν

recte ſcribant, tunc conſultaturus iis aſſurges? ALC. Non per Jovem. SOC. At quum de lyra pulſanda? ALC. Nullo modo. SOC. Neque de palæſtris etiam in concione diſceptare conſueverunt. ALC. Minime. SOC. Qua de re igitur conſultantibus *accedes?* non enim quum de ædificiis. ALC. Non certe. SOC. Ædificator enim melius quam tu conſulet. ALC. Ita. SOC. Neque tamen quum de vaticinio diſceptabunt. ALC. Nequaquam. SOC. Fatidicus enim hæc melius quam tu. ALC. Melius. SOC. Seu parvus, ſeu magnus, ſeu formoſus, ſeu deformis, ſeu nobilis, ſive ignobilis ſit. ALC. Certe. SOC. Scientis enim eſſe arbitror non divitis, de unoquoque conſulere. ALC. Quidni? SOC. Atque ideo ſeu dives ſit ſive pauper ille qui monet, nihil intererit apud Athenienſes, quando deliberabunt qua ratione cives recte ſe habeant, ſed quærent duntaxat

ἰατρὸν εἶναι τὸν σύμβουλον. ΑΛΚ. Εἰκότως γε. ΣΩΚ. Οταν οὖν περὶ τίνος σκοπῶνται, τότε σὺ ἀνιστάμενος, ὡς συμβουλεύσων, ὀρθῶς ἀναστήσῃ; ΑΛΚ. Οταν περὶ τῶν ἑαυτῶν, ὦ Σώκρατες, πραγμάτων. ΣΩΚ. Τῶν περὶ ναυπηγίας λέγεις, ὁποίας τινὰς χρὴ αὐτοὺς τὰς ναῦς ναυπηγεῖσθαι; ΑΛΚ. Οὐκ ἔγωγε, ὦ Σώκρατες. ΣΩΚ. Ναυπηγεῖν γὰρ οἶμαι οὐκ ἐπίστασαι. τοῦτ' αἴτιον, ἢ ἄλλό τι; ΑΛΚ. Οὔκ· ἀλλὰ τοῦτο. ΣΩΚ. Αλλὰ περὶ ποίων τῶν ἑαυτῶν λέγεις πραγμάτων ὅταν βουλεύωνται; ΑΛΚ. Οταν περὶ πολέμου, ὦ Σώκρατες, ἢ περὶ εἰρήνης, ἢ περὶ ἄλλου του τῶν τῆς πόλεως πραγμάτων. ΣΩΚ. Αρα λέγεις, ὅταν βουλεύωνται πρὸς τίνας χρὴ εἰρήνην ποιεῖσθαι; καὶ τίσι πολεμεῖν; καὶ τίνα τρόπον; ΑΛΚ. Ναί. ΣΩΚ. Χρὴ δ', οἷς βέλτιον. ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ τότε, ὁπότε βέλτιον. ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Καὶ τοσοῦτον χρόνον, ὅσον ἄμεινον. ΑΛΚ. Ναί.

ut medicus ſit conſultor. ALC. Et merito. SOC. Qua de re igitur iis deliberantibus tu idoneus conſultor eris? ALC. Quando de negotiis ſuis deliberabunt. SOC. An quum de re navali quærent, quales oportet naves fabricare? ALC. Non, O Socrates. SOC. Naves enim opinor ædificare neſcis. Eſtne hæc cauſa, an aliud quiddam? ALC. Nihil aliud. SOC. At vero de quibus ſuis negotiis dicebas? ALC. Quum de Bello, O Socrates, vel Pace, aut alio quopiam civitatis negotio. SOC. Num dicis cum diſputabunt quibuſcum pax ineunda ſit; & adverſus quos bellum gerendum; & quo pacto? ALC. Profecto. SOC. Oportet autem iis, quibus melius eſt, *hæc indicere*. ALC. His ipſis. SOC. Et tunc, quando melius. ALC. Omnino. SOC. Et tamdiu, quamdiu melius. ALC. Certe.

ϛʹ. ΣΩΚ. Εἰ οὖν βούλοιντο Ἀθηναῖοι, τίσι χρὴ προσπαλαίειν, καὶ τίσιν ἀκροχειρίζεσθαι, καὶ τίνα τρόπον, σὺ ἄμεινον ἂν συμβουλεύοις, ἢ ὁ παιδοτρίβης; ΑΛΚ. Ὁ παιδοτρίβης δήπου. ΣΩΚ. Ἔχεις οὖν εἰπεῖν, πρὸς τί βλέπων ὁ παιδοτρίβης συμβουλεύσειεν οἷς δεῖ προσπαλαίειν, καὶ οἷς μή, καὶ ὁπότε, καὶ ὅν τινα τρόπον; λέγω δὲ τὸ τοιόνδε· ἆρα τούτοις δεῖ προσπαλαίειν οἷς βέλτιον, ἢ οὔ; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρα καὶ τοσαῦτα, ὅσα ἄμεινον; ΑΛΚ. Τοσαῦτα. ΣΩΚ. Οὐκοῦν καὶ τότε, ὅτε ἄμεινον; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ἀλλὰ μὴν καὶ ᾄδοντα δεῖ κιθαρίζειν ποτὲ πρὸς τὴν ᾠδὴν καὶ βαίνειν. ΑΛΚ. Δεῖ γάρ. ΣΩΚ. Οὐκοῦν τότε, ὁπότε βέλτιον; ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ τοσαῦτα, ὅσα βέλτιον; ΑΛΚ. Φημί. ΣΩΚ. Τί οὖν; ἐπειδὴ βέλτιον μὲν ὀνομάζεις ἐπ' ἀμφοτέροις, τῷ τε κιθαρίζειν πρὸς τὴν ᾠδήν, καὶ τῷ προσπαλαίειν, τί καλεῖς τὸ ἐν τῷ ὀρθῶς κιθαρίζειν βέλτιον;

6. SOC. Si ergo consulerent Athenienses quibuscum luctatione, & quibuscum summis digitis, & quemadmodum, certandum sit, tune melius, an gymnasii magister, consuleres? ALC. Gymnasii magister. SOC. Potesne igitur dicere, quonam respiciens gymnasii magister consulturus sit quibuscum luctandum sit, vel non; & quando; & quo pacto? Hoc dico; num cum iis certandum, quibuscum *certare* melius *esset?* an non? ALC. Certe. SOC. Et quamdiu melius? ALC. Tamdiu. SOC. Et tunc, quum melius? ALC. Prorsus. SOC. Quinetiam cantorem oportet nonnunquam pulsare citharam & saltare ad cantilenam? ALC. Oportet. SOC. Nonne tunc quum est melius? ALC. Tunc certe. SOC. Et tantum quantum melius? ALC. Confiteor. SOC. Quid ergo: si quidem melius quiddam in utrisque dixisti, tum in citharæ cantu tum in luctatione, quid vocas

ὥσπερ ἐγὼ τὸ ἐν τῷ παλαίειν καλῶ γυμναστικόν· σὺ δ' ἐκεῖνο τί καλεῖς; ΑΛΚ. Οὐκ ἐννοῶ. ΣΩΚ. Ἀλλὰ πειρῶ ἐμὲ μιμεῖσθαι. ἐγὼ γάρ που ἀπεκρινάμην, τὸ διὰ παντὸς ὀρθῶς ἔχον. ὀρθῶς δὲ δή που ἔχει, τὸ κατὰ τὴν τέχνην γιγνόμενον. ἢ οὔ; ΑΛΚ. Ναί. ΣΩΚ. Ἡ δὲ τέχνη, οὐ γυμναστικὴ ἦν; ΑΛΚ. Πῶς δ' οὔ; ΣΩΚ. Ἐγὼ δ' εἶπον ὃ ἐν τῷ παλαίειν βέλτιον, γυμναστικόν. ΑΛΚ. Εἶπες γάρ. ΣΩΚ. Οὐκοῦν καλῶς; ΑΛΚ. Ἐμοί γε δοκεῖ. ΣΩΚ. Ἴθι καὶ σὺ (πρέποι γὰρ ἄν που καὶ σοὶ τὸ καλῶς διαλέγεσθαι) εἰπὲ πρῶτον τίς ἡ τέχνη, ἧς τὸ κιθαρίζειν καὶ τὸ ᾄδειν καὶ τὸ ἐμβαίνειν ὀρθῶς· συνάπασα, τίς καλεῖται; οὔπω δύνασαι εἰπεῖν; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἀλλ' ὧδε πειρῶ. τίνες αἱ θεαί, ὧν ἡ τέχνη; ΑΛΚ. Τὰς Μούσας, ὦ Σώκρατες, λέγεις; ΣΩΚ. Ἔγωγε. ὅρα δή· τίνα ἀπ' αὐτῶν ἐπωνυμίαν ἡ τέχνη

illud in cithara recte pulsanda melius quiddam? Nam ego melius illud in luctatione gymnasticum voco. Tu autem illud quid *vocas?* ALC. Haud intelligo. SOC. Sed conare me imitari. Ego enim *melius illud esse* respondebam, quod per omnia recte se habet. Recte vero se habet, quod secundum artem fit: nonne? ALC. Certe. SOC. Ars autem illa nonne erat gymnastica? ALC. Quidni? SOC. Ego autem id, quod melius est in palæstra, vocavi gymnasticum. ALC. Vocasti quidem. SOC. Annon recte? ALC. Mihi videtur. SOC. Age igitur & tu (decet enim te quoque recte disserere) dic primum quænam ars erit *illa*, ad quam pertinet recte citharam pulsare, cantare, saltare. Universa hæc ars quomodo nuncupatur? nondum potes dicere? ALC. Nondum. SOC. Verum sic enitere; quænam sunt Deæ quarum hæc est ars? ALC. Musasne, Socrates, ais? SOC. Equidem: vide jam quodnam ab his cognomentum ars illa

ἔχει; ΑΛΚ. Μουσικήν μοι δοκεῖς λέγειν. ΣΩΚ. Λέγω γάρ. τί οὖν τὸ κατὰ ταύτην ὀρθῶς γιγνόμενον ἐστίν; ὥσπερ ἐκεῖ ἐγώ σοι τὸ κατὰ τὴν τέχνην ἔλεγον ὀρθῶς, τὴν γυμναστικήν· καὶ σὺ δὴ οὖν οὕτως ἐνταῦθα τί φής; πῶς γίγνεσθαι; ΑΛΚ. Μουσικῶς μοι δοκεῖ. ΣΩΚ. Εὖ λέγεις. Ἴθι δή, καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον, καὶ τὸ ἐν τῷ εἰρήνην ἄγειν, τοῦτο τὸ βέλτιον, τί ὀνομάζεις; ὥσπερ ἐκεῖ ἐφ' ἑκάστῳ ἔλεγες τῷ ἀμείνονι, ὅτι μουσικώτερον· καὶ ἐπὶ τῷ ἑτέρῳ, ὅτι γυμναστικώτερον, πειρῶ δὴ καὶ ἐνταῦθα λέγειν τὸ βέλτιον. ΑΛΚ. Ἀλλ' οὐ πάνυ τι ἔχω. ΣΩΚ. Ἀλλὰ μέν τοι αἰσχρόν γε, εἰ μέν τίς σε λέγοντα καὶ συμβουλεύοντα περὶ σιτίων, ὅτι βέλτιον τόδε τοῦδε, καὶ νῦν, καὶ τοσοῦτον, ἔπειτα ἐρωτήσειε, τί τό ἄμεινον λέγεις, ὦ Ἀλκιβιάδη; περὶ μὲν τούτων ἔχειν εἰπεῖν, ὅτι τὸ ὑγιεινότερον· καί τοι οὐ προσποιῇ γε ἰατρὸς εἶναι· περὶ δὲ οὗ προσποιῇ ἐπιστήμων εἶναι, καὶ συμβουλεύεις ἀνιστάμε-

trahat. ALC. Muſicam dicere videris. SOC. Dico utique. Quid igitur eſt, quod ſecundum hanc recte fit? quemadmodum ibi dixi ego tibi id, quod ſecundum artem recte fieret, gymnaſticam ſcilicet: Tu quoque in hac eodem modo melius quid vocas? & quomodo fit? ALC. Muſice, ut mihi videtur. SOC. Bene dicis. Age jam, id quod in bello melius eſt & quod in pace melius, quid vocas; quemadmodum ſuperius dixiſti, in unoquoque quid melius eſſet: in hoc quidem quod muſicum magis, in illo vero quod magis gymnaſticum; conare in his ſimiliter, quid melius ſit, pronunciare. ALC. Non habeo quid dicam. SOC. At vero turpe eſt, ſi quis te de cibis conſultantem & aſſerentem, meliorem hunc illo eſſe, & quando & quantus, deinde interroget, Quid melius ipſum, O Alcibiades, vocas? habere quod reſpondeas; videlicet, id quod ſalubrius; quamvis te medicum eſſe non profitearis: in illo vero cujus te peritum eſſe gloriaris, & de quo

νος, ὡς εἰδώς, τούτου δὲ, ὡς ἔοικας, περὶ ἐρωτηθεὶς, ἐὰν μὴ ἔχῃς εἰπεῖν, οὐκ αἰσχύνῃ; ἢ οὐκ αἰσχρὸν φανεῖται; ΑΛΚ. Πάνυ γε.

ζʹ. ΣΩΚ. Σκόπει δὴ καὶ προθυμοῦ εἰπεῖν, πρὸς τί τείνει, τὸ ἐν τῷ εἰρήνῃ τε ἄγειν ἄμεινον, καὶ τὸ ἐν τῷ πολεμεῖν οἷς δεῖ. ΑΛΚ. Ἀλλὰ σκοπῶν οὐ δύναμαι ἐννοῆσαι. ΣΩΚ. Οὐδ' οἶσθα, ἐπειδὰν πόλεμον ποιώμεθα, ὅ, τι ἐγκαλοῦντες ἀλλήλοις πάθημα ἐρχόμεθα ἐπὶ τὸ πολεμεῖν; καὶ ὅ, τι αὐτὸ ὀνομάζοντες ἐρχόμεθα; ΑΛΚ. Ἔγωγε, ὅτι ἐξαπατώμενοί τι, ἢ βιαζόμενοι, ἢ ἀποστερούμενοι. ΣΩΚ. Ἔχε, πῶς ἕκαστα τούτων πάσχοντες; πειρῶ εἰπεῖν τί διαφέρει τὸ ὧδε, ἢ ὧδε. ΑΛΚ. Εἰ τὸ ὧδε λέγεις, ὦ Σώκρατες, τὸ δικαίως ἢ ἀδίκως; ΣΩΚ. Αὐτὸ τοῦτο· ΑΛΚ. Ἀλλὰ μὴν τοῦτό γε διαφέρει ὅλον τε καὶ πᾶν. ΣΩΚ. Τί οὖν; Ἀθηναίοις σὺ πρὸς ποτέρους συμβουλεύσεις πολεμεῖν; τοὺς ἀδικοῦντας, ἢ τοὺς τὰ δίκαια

conſultaturus aſſurgis, deeſſe tibi quod reſpondeas interrogatus: nonne, inquam, turpe hoc eſt? ALC. Turpiſſimum.

7. SOC. Conſidera itaque, & conare dicere, quorſum tendit illud melius in pace & bello, quibuſcum, & contra quos, oportet, inſtituendo? ALC. Etſi quæro, nequeo tamen invenire. SOC. Animadvertiſti, quum bellum gerimus, quid ſit quod mutuo criminantes ad bellum proficiſcimur, & quomodo id, cujus gratia ſuſcipitur bellum, vocemus? ALC. Animadverti equidem ad arma nos provocari, quum vel decepti, vel coacti, vel aliqua re ſpoliati ſumus. SOC. Age, quommodo hæc ſingula patientes? num intereſt, utrum hoc vel illo modo? ALC. Quum dicis hoc vel illo modo, intelligis, juſte vel injuſte? SOC. Id ipſum. ALC. Omnino quidem hoc totum differt. SOC. Age, adverſus quos ut bellum ineant Athenienſes, hortaberis? adverſus injurioſne

πράττοντας; ΑΛΚ. Δεινὸν τοῦτό γε ἐρωτᾷς· εἰ γὰρ καὶ διανοεῖταί τις ὡς δεῖ πρὸς τοὺς τὰ δίκαια πράττοντας πολεμεῖν, οὐκ ἂν ὁμολογήσειέ γε. ΣΩΚ. Οὐ γὰρ νόμιμον τοῦθ', ὡς ἔοικεν. ΑΛΚ. Οὐ δῆτα, οὐδέ γε καλὸν δοκεῖ εἶναι. ΣΩΚ. Πρὸς [1]ταῦτ' ἄρα καὶ σὺ τὸ δίκαιον τοὺς λόγους ποιήσῃ; ΑΛΚ. Ἀνάγκη. ΣΩΚ. Ἄλλο τι οὖν (ὃ νῦν δὴ ἐγὼ ἠρώτων) βέλτιον πρὸς τὸ πολεμεῖν καὶ μή, καὶ οἷς δεῖ, καὶ οἷς μή, καὶ ὁπότε καὶ μή, ἢ τὸ δικαιότερον τυγχάνει ὄν; ἢ οὔ; ΑΛΚ. Φαίνεταί γε. ΣΩΚ. Πῶς, ὦ φίλε Ἀλκιβιάδη; πότερον σαυτὸν λέληθας ὅτι οὐκ ἐπίστασαι τοῦτο; ἢ ἐμὲ ἔλαθες μανθάνων, καὶ φοιτῶν εἰς διδασκάλου ὅς σε ἐδίδασκε διαγιγνώσκειν τὸ δικαιότερόν τε καὶ ἀδικώτερον; καὶ τίς ἐστιν οὗτος φράσον καὶ ἐμοί, ἵνα αὐτῷ φοιτητὴν προξενήσῃς ἐμέ. ΑΛΚ. Σκώπτεις, ὦ Σώκρατες. ΣΩΚ Μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν ἐγὼ ἥκιστ' ἂν ἐπιορκήσαιμι. ἀλλ' εἴπερ ἔχεις, εἰπὲ τίς ἐστι; ΑΛΚ. Τί δ' εἰ

an justos? ALC. Durum est id quod interrogas: nam & si quis cogitet bellum adversus eos gerendum, qui juste agunt, non hoc tibi confitebitur. SOC. Non enim legitimum hoc, ut videtur. ALC. Minime, nec honestum quidem apparet. SOC. Hic igitur tu de justo verba facies? ALC. Necesse est. SOC. Aliudne igitur illud melius est, de quo modo quærebam, in bello gerendo aut non, & quibuscum oportet vel non, & quando oportet vel non, quam quod justius? ALC. *Id ipsum* videtur. SOC. At vero, mi amice Alcibiades, num te præterit, quod hoc ignoras? vel si me inscio ad præceptorem profectus es, unde dijudicare didiceris quid justius, & quid injustius; age & mihi illum ostende, ut ei me discipulum atque hospitem facias. ALC. Cavillaris, mi Socrates. SOC. Non per Deum mihi & tibi Amicum, per quem minime pejerarem: sed si potes, dic quisnam sit. ALC. Quid

1 F. τοῦτ'.

μὴ ἔχω; οὐκ ἂν οἴει με ἄλλως εἰδέναι περὶ τῶν δικαίων καὶ ἀδίκων; ΣΩΚ. Ναὶ, εἴγε εὕροις. ΑΛΚ. Ἀλλ' οὐκ ἂν εὑρεῖν με ἡγῇ; ΣΩΚ. Καὶ μάλα γε, εἰ ζητήσαις. ΑΛΚ. Εἶτα, ζητῆσαι οὐκ ἂν οἴει με; ΣΩΚ. Ἔγωγε, εἰ οἰηθείης γε μὴ εἰδέναι. ΑΛΚ. Εἶτα οὐκ ἦν ὅτε οὐκ εἶχον οὕτω; ΣΩΚ. Καλῶς λέγεις. ἔχεις οὖν εἰπεῖν τοῦτον τὸν χρόνον, ὅτε οὐκ ᾤου εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα; φέρε πέρυσιν ἐζήτεις τε καὶ οὐκ ᾤου εἰδέναι, ἢ ᾤου; καὶ τἀληθῆ ἀποκρίνου, ἵνα μὴ μάτην οἱ διάλογοι γίγνωνται. ΑΛΚ. Ἀλλ' ᾤμην εἰδέναι. ΣΩΚ. Τρίτον δὲ ἔτος, καὶ τέταρτον, καὶ πέμπτον, οὐχ οὕτως; ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Ἀλλὰ μὴν τόγε πρὸ τοῦ, παῖς ἦσθα· ἢ γάρ; ΑΛΚ. Ναί. ΣΩΚ. Τότε μὲν τοίνυν εὖ οἶδα ὅτι ᾤου εἰδέναι. ΑΛΚ. Πῶς εὖ οἶσθα; ΣΩΚ. Πολλάκις σοῦ ἐν διδασκάλων ἤκουον παιδὸς ὄντος καὶ ἄλλοθι, καὶ ὁπότε ἀστραγαλίζοις

si non possim? nonne putas aliter me justa atque injusta dignoscere posse? SOC. Imo, si quidem inveneris. ALC. Annon censes invenisse me? SOC. Et maxime quidem, modo quæsiveris. ALC. Deinde non credis me quæsîsse? SOC. Credo equidem, modo te ignorare putaveris. ALC. Annon itaque fuit tempus, cum non essem ita persuasus? SOC. Bene dicis; sed potesne assignare nobis id tempus, quando non rebaris te justorum atque injustorum cognitionem habere? age; anno superiori quæsîsti, utpote non putans te hæc scire; necne? Ac verum responde, ne frustra disputatio instituatur. ALC. Putabam scire. SOC. Tertio vero abhinc anno, & quarto, & quinto, nonne eodem pacto? ALC. Eodem. SOC. Atqui ante hæc tempora eras puer; nonne? ALC. Certe. SOC. Scio equidem te tunc hæc nosse putavisse. ALC. Quomodo scis? SOC. Sæpenumero te puerum audivi apud magistros, tum alibi, tum quando in calcu-

ἢ ἄλλην τινὰ παιδιὰν παίζοις, οὐχ ὡς ἀποροῦντος περὶ τῶν δικαίων καὶ ἀδίκων, ἀλλὰ μάλα μέγα καὶ θαῤῥαλέως λέγοντος περὶ ὅτου τύχοις τῶν παίδων, ὡς πονηρός τε καὶ ἄδικος εἴη, καὶ ὡς ἀδικοῖ. ἢ οὐκ ἀληθῆ λέγω; ΑΛΚ. Ἀλλὰ τί ἔμελλον ποιεῖν, ὦ Σώκρατες, ὁπότε τίς με ἀδικοῖ; ΣΩΚ. Σὺ δ', εἰ τύχοις ἀγνοῶν εἴτε ἀδικοῖο εἴτε μὴ, τότε λέγεις τί σε χρὴ ποιεῖν; ΑΛΚ. Μὰ Δί', ἀλλ' οὐκ ἠγνόουν ἔγωγε, ἀλλὰ σαφῶς ἐγίγνωσκον ὅτι ἠδικούμην. ΣΩΚ. Ὤου ἄρα ἐπίστασθαι καὶ παῖς ὢν, ὡς ἔοικε, τὰ δίκαια καὶ τὰ ἄδικα; ΑΛΚ. Ἔγωγε, καὶ ἠπιστάμην γε. ΣΩΚ. Ἐν ὁποίῳ χρόνῳ ἐξευρών; οὐ γὰρ δήπου ἐν ᾧ γε ᾤου εἰδέναι. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Πότε οὖν ἀγνοεῖν ἡγοῦ; σκόπει. οὐ γὰρ εὑρήσεις τοῦτον τὸν χρόνον. ΑΛΚ. Μὰ τὸν Δί', ὦ Σώκρατες, οὐκ ἔχω ἔγωγε εἰπεῖν. ΣΩΚ. Εὑρὼν μὲν ἄρα οὐκ οἶσθα αὐτά;

lorum jactu cæteriſque puerilibus ſtudiis exercereris, non tanquam de juſtis atque injuſtis dubitantem, verum magna voce & audacter loquentem de quocunque puero ſermo incidiſſet, quod malus & injuſtus eſſet, & injuſte ageret. Num vera loquor? ALC. Quid me oportebat facere, Socrates, cum quis injuria me afficeret? SOC. Tu vero ſi ignorares, utrum injuria inferatur, necne, deinde quid te facere oporteat rogites? ALC. Per Jovem, non ignorabam ego, ſed plane intelligebam injuriam mihi fieri. SOC. Ergo putabas, etiam dum eſſes puer, juſta te & injuſta ſcire. ALC. Et ſciebam equidem. SOC. Quo in tempore inveneras? Non enim in illo cum te ſcire credebas. ALC. Nequaquam. SOC. Quando igitur hæc ignorare putabas? Conſidera, non enim id tempus invenies. ALC. Per Jovem, Socrates, quod dicam non habeo. SOC. Non ergo inveniendo illa noſti.

ΑΛΚ. Οὐ πάνυ φαίνομαι. ΣΩΚ. Ἀλλὰ μὴν ἄρτι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι· εἰ δὲ μήτε εὗρες, μήτε ἔμαθες, πῶς οἶσθα καὶ πόθεν;

η'. ΑΛΚ. Ἀλλ' ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρινάμην, τὸ φάναι εἰδέναι αὐτὸς ἐξευρών. ΣΩΚ. Τὸ δὲ πῶς εἶχεν; ΑΛΚ. Ἔμαθον οἶμαι καὶ ἐγὼ ὥσπερ καὶ οἱ ἄλλοι. ΣΩΚ. Πάλιν εἰς τὸν αὐτὸν ἥκομεν λόγον. παρὰ τοῦ; φράζε κἀμοί. ΑΛΚ. Παρὰ τῶν πολλῶν. ΣΩΚ. Οὐκ εἰς σπουδαίους γε διδασκάλους καταφεύγεις, εἰς τοὺς πολλοὺς ἀναφέρων. ΑΛΚ. Τί δέ; οὐχ ἱκανοὶ διδάξαι οὗτοι; ΣΩΚ. Οὔκουν τὰ πεττευτικά γε, καὶ τὰ μή. καίτοι φαυλότερα αὐτὰ εἶναι τῶν δικαίων οἶμαι. τί δέ; σὺ οὐχ οὕτως οἴει; ΑΛΚ. Ναί. ΣΩΚ. Εἶτα τὰ μὲν φαυλότερα οὐχ οἷοί τε διδάσκειν, τὰ δὲ σπουδαιότερα; ΑΛΚ. Οἶμαι ἔγωγε. ἀλλὰ γοῦν πολλὰ οἷοί τ' εἰσὶ διδάσκειν σπουδαιότερα τοῦ πεττεύειν. ΣΩΚ. Ποῖα ταῦτα; ΑΛΚ.

ALC. Non, ut videtur. SOC. Sed paulo ante neque discendo te hæc cognovisse dicebas: quod si nec invenisti nec didicisti, quonam pacto & unde tenes?

8. ALC. Forte haud recte respondebam, cum scire me inveniendo asserui. SOC. Id vero quo pacto habet? ALC. Didici ipse quoque, ut arbitror, quemadmodum cæteri. SOC. Rursus in idem relabimur: dic mihi enim a quo didicisti. ALC. A vulgo. SOC. Non ad probatos refugis præceptores, cum ad vulgus te refers. ALC. Annon sufficiunt ad docendum etiam hi? SOC. Ne ea quidem quæ talarem ludum attinent, aut non attinent: etsi viliora hæc sunt quam justa. Annon sic tu quoque putas? ALC. Puto. SOC. Ergo majora docere possunt, viliora non possunt? ALC. Arbitror equidem. Enimvero multa docere possunt ludo talari meliora. SOC. Quænam ista? ALC.

Οἷον καὶ ἑλληνίζειν παρὰ τούτων ἔγωγε ἔμαθον. καὶ οὐκ ἂν ἔχοιμι ἐμαυτοῦ εἰπεῖν διδάσκαλον, ἀλλ' εἰς τοὺς αὐτοὺς ἀναφέρω, οὓς σὺ φῂς οὐ σπουδαίους εἶναι διδασκάλους. ΣΩΚ. Ἀλλ', ὦ γενναῖε, τούτου μὲν ἀγαθοὶ διδάσκαλοι οἱ πολλοὶ, καὶ δικαίως ἐπαινοῖντ' ἂν αὐτῶν εἰς διδασκαλίαν. ΑΛΚ. Τί δή; ΣΩΚ. Ὅτι ἔχουσι περὶ αὐτὰ, ἃ χρὴ τοὺς ἀγαθοὺς διδασκάλους ἔχειν. ΑΛΚ. Τί τοῦτο λέγεις; ΣΩΚ. Οὐκ οἶσθ' ὅτι χρὴ τοὺς μέλλοντας διδάσκειν ὁτιοῦν αὐτοὺς πρῶτον εἰδέναι; ἢ οὔ; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Οὐκοῦν τοὺς εἰδότας, ὁμολογεῖν τε ἀλλήλοις καὶ μὴ διαφέρεσθαι; ΑΛΚ. Ναί. ΣΩΚ. Ἐν οἷς δ' ἂν διαφέρωνται, ταῦτα φήσεις εἰδέναι αὐτούς; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Τούτων οὖν διδάσκαλοι πῶς ἂν εἶεν; ΑΛΚ. Οὐδαμῶς. ΣΩΚ. Τί οὖν; δοκοῦσί σοι διαφέρεσθαι οἱ πολλοὶ ποῖόν ἐστι λίθος ἢ ξύλον, κἄν τινα ἐρωτᾷς; ἆρ' οὐ ταυτὰ ὁμολογοῦσι καὶ ἐπὶ ταυτὰ ὁρμῶσιν, ὅταν βούλωνται λαβεῖν λίθον ἢ ξύλον; ὡσαύτως καὶ πάνθ' ὅσα

Videlicet Græce loqui: Ab iis enim didici, nec præceptorem ullum habui præter illos, quos tu magiſtros haud ſatis eſſe probatos dicis. SOC. At, vir generoſe, hujus quidem rei vulgus idonei ſunt præceptores, & merito ob hanc doctrinam laudentur. ALC. Cur? SOC. Quoniam ea habent ad has res pertinentia, quæ bonos decet præceptores habere. ALC. Quid hoc? SOC. Nonne ſcis oportere illos, qui aliquid docturi ſunt, priuſquam doceant, rem ipſos intelligere? ALC. Quidni? SOC. Et cum intelligant, conſentire ſibi neque diſſidere? ALC. Ita. SOC. In quibus vero diſſentiunt, ea ſcire illos dices? ALC. Minime. SOC. Horum ergo quomodo magiſtri ſint? ALC. Nullo modo. SOC. Videturne itaque tibi diſſentire multitudo, ſi quando interrogetur quid lapis, aut quid lignum ſit? annon idem fatentur, in idemque feruntur omnes, cum lignum volunt aut lapidem capere? atque eodem pacto quoad cuncta hujuſmo-

ποιαῦτα. σχεδὸν γάρ τοι μανθάνω, ὃ ἑλληνίζειν ἐπίστασθαι, ὅτι τοῦτο λέγεις. ἢ οὔ; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν εἰς μὲν ταῦτα, ὥσπερ εἴπομεν, ἀλλήλοις τε ὁμολογοῦσι καὶ αὐτοὶ αὑτοῖς ἰδίᾳ, καὶ δημοσίᾳ αἱ πόλεις πρὸς ἀλλήλας οὐκ ἀμφισβητοῦσιν, αἱ μὲν ταυτὰ, αἱ δ' ἄλλα φάσκουσαι. ΑΛΚ. Οὐ γάρ. ΣΩΚ. Εἰκότως ἂν ἄρα τούτων καὶ διδάσκαλοι εἶεν ἀγαθοί. ΑΛΚ. Ναί.

ζ'. ΣΩΚ. Οὐκοῦν εἰ μὲν βουλοίμεθ' ἂν ποιῆσαί τινα περὶ αὐτῶν εἰδέναι, ὀρθῶς ἂν αὐτὸν πέμποιμεν εἰς διδασκαλίαν τούτων τῶν πολλῶν; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Τί δ' εἰ βουληθείημεν εἰδέναι μὴ μόνον ποῖοι ἄνθρωποί εἰσιν, ἢ ποῖοι ἵπποι, ἀλλὰ καὶ τίνες αὐτῶν δρομικοί τε καὶ μή, ἆρα ἔτι οἱ πολλοὶ τοῦτο ἱκανοὶ διδάξαι; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἱκανὸν δέ σοι τεκμήριον ὅτι οὐκ ἐπίστανται, οὐδὲ κρήγυοι διδάσκαλοί εἰσι τούτων, ἐπειδὴ οὐδὲν ὁμολογοῦσιν ἑαυτοῖς περὶ αὐτῶν. ΑΛΚ. Ἔμοιγε. ΣΩΚ.

di? Intelligo enim ferme illud, Græce Scire, hoc te ſenſu ſignificaſſe; nonne? ALC. Revera. SOC. Nonne ergo conſentiunt, ut diximus, & ſinguli privatim, & publice civitates, ſecum invicem; neque dubitant, aliæ quidem hoc, aliæ illo ea nomine appellantes? ALC. Non *dubitant*. SOC. Merito ergo horum idonei præceptores eſſent. ALC. Nempe.

9. SOC. Itaque ſiquidem in his vellemus aliquem eruditum efficere, recte hunc in hujuſce multitudinis diſciplinam mitteremus. ALC. Prorſus. SOC. Porro; ſi noſſe vellemus non modo quinam ſint homines aut quinam equi *ſint*, verum etiam quinam ex illis maxime curſu valeant, & qui non, nunquid vulgus in hac re erudire *nos* poterit? ALC. Nequaquam. SOC. Idoneum nempe argumentum erit, quod nec ſciant, neque apti horum præceptores ſint, quoniam de iis inter ſe nequaquam conveniunt. ALC. Ita mihi videtur. SOC.

Τί δ' εἰ βουληθείημεν εἰδέναι μὴ μόνον ποῖοι ἄνθρωποι εἰσὶν, ἀλλ' ὁποῖοι ὑγιεινοὶ ἢ νοσώδεις, ἆρα ἱκανοὶ ἂν ἡμῖν ἦσαν διδάσκαλοι οἱ πολλοί; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ην δ' ἄν σοι τεκμήριον ὅτι μοχθηροί εἰσι τούτων διδάσκαλοι, εἰ ἑώρας αὐτοὺς διαφερομένους. ΑΛΚ. Εμοιγε. ΣΩΚ. Τί δὲ δὴ νῦν περὶ τῶν δικαίων ἀνθρώπων καὶ πραγμάτων; οἱ πολλοὶ δοκοῦσί σοι ὁμολογεῖν αὐτοὶ ἑαυτοῖς ἢ ἀλλήλοις; ΑΛΚ. Ηκιστα νὴ Δὶ, ὦ Σώκρατες. ΣΩΚ. Τί δαί; μάλιστα περὶ αὐτῶν διαφέρεσθαι; ΑΛΚ. Πολύ γε. ΣΩΚ. Οὔκουν οἶμαί γε πώποτέ σε ἰδεῖν, οὐδ' ἀκοῦσαι σφόδρα οὕτω διαφερομένους ἀνθρώπους περὶ ὑγιεινῶν καὶ μὴ, ὥστε διὰ ταῦτα μάχεσθαί τε καὶ ἀποκτιννύναι ἀλλήλους. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Αλλὰ περὶ τῶν δικαίων καὶ ἀδίκων, ἔγωγε οἶδ' ὅτι (καὶ εἰ μὴ ἑώρακας) ἀκήκοας γοῦν ἄλλων τε πολλῶν καὶ Ομήρου. καὶ Οδυσσείας γὰρ καὶ Ιλιάδος ἀκήκοας. ΑΛΚ. Πάν-

Porro, si nosse velimus non tantum quinam sint homines, sed quinam valeant, aut qui ægrotent, nunquid hoc satis apte multitudo doceret? ALC. Non SOC. Harum quippe rerum eos pessimos esse præceptores facile adverteres, si discordes eorum opiniones consideraveris. ALC. Sane. SOC. Præterea; de justis hominibus atque rebus, num qui e vulgo sunt aut secum ipsis, aut secum invicem, consentiant? ALC. Minime per Jovem, O Socrates. SOC. At in iis magnopere discrepant? ALC. Summopere. SOC. Arbitror nec vidisse te unquam, nec audivisse homines de sanis & ægrotis inter se adeo dissentire, ut ob ista & bellum gererent, & se invicem interimerent. ALC. Nunquam. SOC. Cæterum de justis atque injustis quam acriter dissentiant, etsi ipse, ut arbitror, non vidisti, audisti tamen cum ex aliis multis, tum etiam ex Homero: nam Odyssæam atque Iliada audivisti,

τως δήπου, ὦ Σώκρατες. ΣΩΚ. Οὐκοῦν ταῦτα ποιήματά ἐστι περὶ διαφορᾶς δικαίων τε καὶ ἀδίκων; ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ αἱ μάχαι γε καὶ οἱ θάνατοι, διὰ ταύτην τὴν διαφορὰν, τοῖς τε Ἀχαιοῖς καὶ τοῖς ἄλλοις Τρωσὶν ἐγένοντο, καὶ τοῖς μνηστῆρσι, τοῖς τῆς Πηνελόπης, καὶ τῷ Ὀδυσσεῖ. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Οἶμαι δὲ καὶ τοῖς ἐν Τανάγρᾳ Ἀθηναίων τε καὶ Λακεδαιμονίων καὶ Βοιωτῶν ἀποθανοῦσι, καὶ τοῖς ὕστερον ἐν Κορωνείᾳ, ἐν οἷς καὶ ὁ σὸς πατὴρ Κλεινίας ἐτελεύτησεν, οὐδὲ περὶ ἑνὸς ἄλλου διαφορὰν, ἢ περὶ τοῦ δικαίου τε καὶ ἀδίκου, τοὺς θανάτους καὶ τὰς μάχας πεποιηκέναι· ἦ γάρ; ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Τούτους οὖν φῶμεν ἐπίστασθαι περὶ ὧν οὕτω σφόδρα διαφέρονται, ὥστε ἀμφισβητοῦντες ἀλλήλοις τὰ ἔσχατα σφᾶς αὐτοὺς ἐργάζονται; ΑΛΚ. Οὐ φαίνεταί γε. ΣΩΚ. Οὐκοῦν εἰς τοὺς τοιούτους διδασκάλους ἀναφέρεις, οὓς ὁμολογεῖς αὐτὸς μὴ εἰδέναι; ΑΛΚ. Ἔοικα. ΣΩΚ. Πῶς οὖν εἰκός σε εἰ-

ALC. Omnino, O Socrates. SOC. Nonne igitur hæc omnia poemata ſunt de juſti atque injuſti diſcrimine? ALC. Sunt. SOC. Pugnæque & interitus ob eandem profecto diſſentionem inter Achivos Trojanoſque fuerunt, eademque ratione inter procos Penelopes & Ulyſſem. ALC. Vera refers. SOC. Reorque & inter Athenienſes, Lacedæmonas, atque Bœotios, tum eos qui prius in Tanagra, tum qui poſtea in Coronea perierunt, ubi etiam pater tuus Clinias oppetiit, nulla alia de re quam de juſti injuſtique differentia pugnam illam cladem que extitiſſe. ALC. Vera loqueris. SOC. Eos itaque dicemus illa ſciviſſe de quibus tam acriter concertarunt, ut *de juſto & injuſto* ſecum invicem altercantes omnia extrema ſubirent? ALC. Non videtur. SOC. Ergo ad iſtiuſmodi præceptores nos refers, quos ipſemet ignaros eſſe conſentis? ALC. Videor. SOC. Quonam igitur

δέναι τὰ δίκαια καὶ τὰ ἄδικα, περὶ ὧν οὕτω πλανᾷ, καὶ οὔτε μαθὼν φαίνῃ παρ' οὐδενὸς, οὔτε αὐτὸς ἐξευρών; ΑΛΚ. Εκ μὲν ὧν σὺ λέγεις, οὐκ εἰκός.

ι'. ΣΩΚ. Ορᾷς αὖ τοῦθ' ὡς οὐ καλῶς εἶπες, ὦ Αλκιβιάδη; ΑΛΚ. Τὸ ποῖον; ΣΩΚ. Οτι ἐμὲ φῂς ταῦτα λέγειν. ΑΛΚ. Τί δέ; οὐ σὺ λέγεις ὡς ἐγὼ οὐδὲν ἐπίσταμαι περὶ τῶν δικαίων καὶ ἀδίκων; ΣΩΚ. Οὐ μέν τοι. ΑΛΚ. Αλλ' ἐγώ; ΣΩΚ. Ναί. ΑΛΚ. Πῶς δή; ΣΩΚ. Ωδε εἴσῃ. ἐάν σε ἔρωμαι, τὸ ἓν καὶ τὰ δύο πότερα πλείω ἐστί; φήσεις ὅτι τὰ δύο; ΑΛΚ. Εγωγε. ΣΩΚ. Πόσῳ; ΑΛΚ. Ενί. ΣΩΚ. Πότερος οὖν ἡμῶν ὁ λέγων, ὅτι τὰ δύο τοῦ ἑνὸς ἑνὶ πλείω; ΑΛΚ. Εγώ. ΣΩΚ. Οὐκοῦν ἐγὼ μὲν ἠρώτων, σὺ δὲ ἀπεκρίνου; ΑΛΚ. Ναί. ΣΩΚ. Περὶ δὴ τούτων, μῶν ἐγὼ φαίνομαι λέγων ὁ ἐρωτῶν, ἢ σὺ ὁ ἀποκρινόμενος; ΑΛΚ. Εγώ. ΣΩΚ.

pacto verisimile est te justa & injusta cognoscere, in quibus sic erras, & quæ nec didicisse ab aliquo videris, neque per te ipsum invenisse? ALC. Ex iis quæ tu dicis, non est verisimile.

10. Videsne iterum, Alcibiades, hoc te non recte dixisse? ALC. Quid? SOC. Quod Me aiebas hæc dicere. ALC. Quid? nonne tu dicis me justi & injusti ignarum esse? SOC. Nequaquam. ALC. Egone igitur? SOC. Tu inquam. ALC. Quonam modo? SOC. Sic intelliges: si te interrogem utrum unum aut duo plura sunt, respondebisne Duo? ALC. Duo. SOC. Quanto? ALC. Uno. SOC. Uter igitur nostrum est, qui dicit duo uno plura esse quam unum? ALC. Ego. SOC. Ego igitur interrogabam, tu respondebas? ALC. Ita. SOC. De iis ergo uter nostrum pronunciare videtur, num ego interrogans, an tu respondens? ALC. Ego. SOC. Quid

Τί δ', ἂν ἐγὼ μὲν ἐρωτῶ καὶ ποῖα γράμματα Σωκράτους, σὺ δὲ εἴπῃς; πότερος ὁ λέγων; ΑΛΚ. Ἐγώ. ΣΩΚ. Ἴθι δὴ ἑνὶ λόγῳ εἰπέ· ὅταν ἐρώτησίς τε καὶ ἀπόκρισις γίγνηται, πότερος ὁ λέγων; ὁ ἐρωτῶν, ἢ ὁ ἀποκρινόμενος; ΑΛΚ. Ὁ ἀποκρινόμενος ἔμοι γε δοκεῖ, ὦ Σώκρατες. ΣΩΚ. Οὐκοῦν ἄρτι διαπαντὸς ἐγὼ μὲν ἦν ὁ ἐρωτῶν; ΑΛΚ. Ναί. ΣΩΚ. Σὺ δὲ ὁ ἀποκρινόμενος; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Τί οὖν; τὰ λεχθέντα πότερος ἡμῶν εἴρηκε; ΑΛΚ. Φαίνομαι μέν, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων, ἐγώ. ΣΩΚ. Οὐκοῦν ἐλέχθη, ὅτι περὶ δικαίων καὶ ἀδίκων Ἀλκιβιάδης ὁ καλὸς ὁ Κλεινίου οὐκ ἐπίσταιτο, οἴοιτο δέ, καὶ μέλλοι εἰς ἐκκλησίαν ἐλθὼν συμβουλεύσειν Ἀθηναίοις, περὶ ὧν οὐδὲν οἶδεν; οὐ ταῦτ' ἦν; ΑΛΚ. Φαίνεται. ΣΩΚ. Τὸ τοῦ Εὐριπίδου ἄρα συμβαίνει, ὦ Ἀλκιβιάδη· σοῦ τάδε κινδυνεύεις, ἀλλ' οὐκ ἐμοῦ, ἀκηκοέναι· οὐδ' ἐγώ εἰμι ὁ ταῦ-

autem? ſi quæram quot ſunt in Socrate literæ, tu vero reſpondeas; uter noſtrum erit qui dicet? ALC. Ego. SOC. Age; dic uno verbo, quoties interrogatio ſit atque reſponſio, uter eſt qui dicit? interrogansne an reſpondens? ALC. Reſpondens, ut mihi videtur, O Socrates. SOC. Nonne itaque ſuperioribus ſemper Ego interrogavi? ALC. Semper SOC. Tu vero reſpondiſti? ALC. Omnino. SOC. Quæ igitur dicta ſunt hactenus, uter noſtrum dixit? ALC. Ex iis profecto quæ conceſſa ſunt, ego *dixiſſe* videor, mi Socrates. SOC. Nonne dictum eſt, quod Alcibiades, pulcher Cliniæ filius, juſtorum atque injuſtorum inſcius, ſe ſcire putabat, eratque concionem Athenienſium ingreſſurus, de iis conſultaturus quæ plane neſciret? Suntne hæc vera? ALC. Sunt. SOC. Itaque Euripidis illud nunc accidit, O Alcibiades. Abs te quippe iſta videris audiſſe non a me: Neque ego

τα λέγων, ἀλλὰ σὺ, ἐμὲ δὲ αἰτιᾷ μάτην. ΑΛΚ. Καὶ μέντοι εὖ λέγεις. ΣΩΚ. Μανικὸν γὰρ ἐν νῷ ἔχεις ἐπιχείρημα, [1] ἐπιχειρεῖν, ὦ βέλτιστε, διδάσκειν ἃ οὐκ οἶσθα, ἀμελήσας μανθάνειν. ΑΛΚ. Οἶμαι μὲν, ὦ Σώκρατες, Ἀθηναίους ὀλιγάκις βουλεύεσθαι, καὶ τοὺς ἄλλους Ἕλληνας, πότερα δικαιότερα ἢ ἀδικώτερα· τὰ μὲν γὰρ τοιαῦτα ἡγοῦνται δῆλα εἶναι. ἐάσαντες οὖν περὶ αὐτῶν, σκοποῦσιν ὁπότερα συνοίσει πράξουσιν. οὐ γὰρ ταυτὰ οἶμαι τά τε δίκαια καὶ τὰ συμφέροντα. ἀλλὰ πολλοῖς δὴ ἐλυσιτέλησεν ἀδικήσασι μεγάλα ἀδικήματα· καὶ ἑτέροις οἶμαι δίκαια ἐργασαμένοις, οὐ ξυνήνεγκε. ΣΩΚ. Τί οὖν; εἰ ὅτιμάλιστα ἕτερα μὲν τὰ δίκαια τυγχάνει ὄντα, ἕτερα δὲ τὰ συμφέροντα, οὔ τι πού σὺ αὖ οἴει ταῦτα εἰδέναι ἃ συμφέρει τοῖς ἀνθρώποις, καὶ διότι; ΑΛΚ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; εἰ μή με αὖ ἐρήσῃ παρʼ ὅτου ἔμαθον, ἢ ὅπως αὐτὸς εὗρον. ΣΩΚ Οἷον τοῦτο ποιεῖς· εἴ τι μὴ ὀρθῶς λέγεις, τυγχάνῃ δὲ δυνατὸν ἀποδεῖξαι [2] διʼ οὗπερ καὶ τ

hæc, ſed tu dixiſti, me autem fruſtra accuſas. ALC. Et profecto recte dicis. SOC. Furioſum enim quiddam aggrederis, Vir optime, docturus illa quæ neſcis, utpote qui ea neglexiſti diſcere. ALC. Reor, O Socrates, Athenienſes & alios Græcos raro quænam juſtiora, quæve injuſtiora ſint, quærere: talia enim putant eſſe perſpicua: his igitur omiſſis, quænam conducent agentibus, inquirunt. Neque enim eadem eſſe juſta & utilia puto, ſed multis valde injuſte agentibus injuſtitia profuit: alios contra juſte agentes nil ipſa juſtitia juvit. SOC. Quid igitur? ſi vel maxime diverſa inter ſe ſint juſta & utilia, nunquid tu rurſum ſcire te putas quænam utilia ſint hominibus, & quam ob cauſam? ALC. Et quid prohibet, Socrates? niſi rurſus exquiras a quo didicerim, aut quomodo ipſe invenerim. SOC. Vide quid agas; ſi quid non recte dicis, & poſſit id oſtendi eadem ratione qua ſuperiora,

1 F. ἐπιχειρῶν. 2 F. διʼ οὗπερ καὶ τὸ πρότερον λόγου. *Ita MS.*

πρότερον λόγον, οἴει δὴ καινὰ ἄττα δεῖν ἀκούειν, ἀποδείξεις τε ἑτέρας, ὡς τῶν προτέρων οἷον σκευαρίων κατατετριμμένων· καὶ οὐκέτ' ἂν σὺ αὐτὰ ἀμπίσχοιο, εἰ μή τις σοι τεκμήριον καθαρὸν καὶ ἄχραντον οἴσει. ἐγὼ δέ, χαίρειν ἐάσας τὰς σὰς προδρομὰς τοῦ λόγου, οὐδὲν ἧττον ἐρήσομαι ὁπόθεν μαθὼν αὐτὰ συμφέροντα ἐπίστασαι, καὶ ὅστις ἐστὶ διδάσκαλος, καὶ πάντα ἐκεῖνα τὰ πρότερον ἐρωτῶ μιᾷ ἐρωτήσει. ἀλλὰ γὰρ δῆλον ὡς εἰς ταυτὸν ἥξεις, καὶ οὐχ ἕξεις ἀποδεῖξαι, οὔθ' ὡς ἐξευρὼν οἶσθα τὰ συμφέροντα, οὔθ' ὡς μαθών. ἐπειδὴ δὲ τρυφᾷς, καὶ οὐκέτ' ἂν ἡδέως τοῦ αὐτοῦ γεύσαιο λόγου, τοῦτο μὲν ἐῶ χαίρειν, εἴτε οἶσθα εἴτε μὴ τὰ Ἀθηναίοις συμφέροντα· πότερον δὲ ταυτά ἐστι δίκαιά τε καὶ συμφέροντα, ἢ ἕτερα, τί οὐκ ἀπέδειξας; εἰ μὲν βούλει, ἐρωτῶν με ὥσπερ ἐγὼ σέ· εἰ δὲ, καὶ αὐτὸς ἐπὶ σαυτοῦ λόγῳ διέξελθε. ΑΛΚ. Ἀλλ' οὐκ οἶδα, εἰ οἷός τ' ἂν εἴην, ὦ Σώκρατες, πρὸς σὲ

ipſe tamen nova quædam exiſtimas audienda, novaſque demonſtrationes in medium adducendas, quaſi priores eſſent, inſtar ſupellectilis, uſu contritæ, quibus quidem tu non amplius induaris, niſi quis argumentum tibi purum immaculatumque afferat. Ego autem miſſa faciens ſermonis tui præludia, nihilominus interrogabo, unde utilia hæc eſſe noſti, & quiſnam magiſter fuerit, & reliqua cuncta, quæ prius, una interrogatione requiram. Veruntamen eodem, ut liquet, reſolveris, neque oſtendere poteris te utilia vel diſciplina vel inventione cognoviſſe. Quando vero delicatus es, nec libenter ſermonem eundem guſtaveris; hoc quidem mitto, noriſne, an non, quæ Athenienſibus utilia ſint: utrum autem eadem ſint juſta & utilia, an diverſa, cur non demonſtras, aut ita ipſe me interrogando, ut ego te, ſi ita placet; aut oratione perpetua utendo? A L C. Haud ſcio, O Socrates, an adverſus

διελθεῖν. ΣΩΚ. Ἀλλ', ὦ 'γαθὲ, ἐμὲ ἐκκλησίαν νόμισον καὶ δῆμον. καὶ ἐκεῖ τοί σε δεήσει ἕνα ἕκαστον πείθειν· ἢ γάρ; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν τοῦ αὐτοῦ, ἕνα τε οἷόν τε εἶναι κατὰ μόνας πείθειν, καὶ ξυμπόλλους, περὶ ὧν ἂν εἰδῇ; ὥσπερ ὁ γραμματιστὴς ἕνα τε πείθει που περὶ γραμμάτων καὶ πολλούς. ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρ' οὖν καὶ περὶ ἀριθμοῦ ὁ αὐτὸς ἕνα τε καὶ πολλοὺς πείσει; ΑΛΚ. Ναί. ΣΩΚ. Οὗτος δ' ἔσται ὁ εἰδὼς ὁ ἀριθμητικός. ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Οὐκοῦν καὶ σὺ, ἅπερ καὶ πολλοὺς, οἷός τε πείθειν εἶ ταῦτα καὶ ἕνα; ΑΛΚ. Εἰκός γε. ΣΩΚ. Ἔστι δὲ ταῦτα δηλονότι ἃ οἶσθα. ΑΛΚ. Ναί. ΣΩΚ. Ἄλλοτι οὖν ἢ τοσούτῳ μόνῳ διαφέρει τοῦ ἐν τῷ δήμῳ ῥήτορος ὁ ἐν τῇ τοιᾷδε ξυνουσίᾳ, ὅτι ὁ μὲν ἀθρόους πείθει ταῦτα, ὁ δὲ καθ' ἕνα. ΑΛΚ. Κινδυνεύει.

ια'. ΣΩΚ. Ἴθι δὴ νῦν, ἐπειδὴ τοῦ αὐτοῦ φαίνεται πολλούς

te disputare valeam, necne. SOC. At, mi bone Vir, concionem me in præsentia populumque esse puta: nonne illic te unicuique persuadere oportebit? ALC. Certe. SOC. Nonne ejusdem est posse & uni seorsum, & multis simul, ea, quæ novit, demonstrare? Sicut grammaticus unum pariter in literis ac multos erudit. ALC. Est. SOC. Et in numeris eodem modo idem poterit uni ac multis rem probatam facere. ALC. Certe. SOC. Hic autem est Arithmeticus. ALC. Est. SOC. Et tu ergo quæ pluribus, eadem & uni persuadere potes. ALC. Consentaneum est. SOC. Sunt autem hæc videlicet quæ cognoscis. ALC. Profecto. SOC. Hoc vero duntaxat differt rhetor, qui apud populum loquitur, ab eo qui in hujusmodi congressu: quod ille simul universis, hic seorsim singulis persuadet. ALC. Videtur.

11. SOC. Age, cum ejusdem esse appareat multis atque uni

τε καὶ ἕνα πείθειν, σὺ ἐμοὶ ἐμμελέτησον καὶ ἐπιχείρησον ἐπιδεῖξαι, ὡς τὸ δίκαιον ἐνίοτε οὐ ξυμφέρει. ΑΛΚ. Ὑβριστὴς εἶ, ὦ Σώκρατες. ΣΩΚ. Νῦν γοῦν ὑφ' ὕβρεως μέλλω σε πείθειν τἀναντία, οἷς σὺ ἐμὲ οὐκ ἐθέλεις. ΑΛΚ. Λέγε δή. ΣΩΚ. Ἀποκρίνου μόνον τὰ ἐρωτώμενα. ΑΛΚ. Μή· ἀλλὰ σὺ αὐτὸς λέγε. ΣΩΚ. Τί δαί; οὐχ ὅτι μάλιστα βούλει πεισθῆναι; ΑΛΚ. Πάντως δή που. ΣΩΚ. Οὐκοῦν εἰ λέγεις ὅτι αὐτὰ οὕτως ἔχει, μάλιστ' ἂν εἴης πεπεισμένος; ΑΛΚ. Ἐμοί γε δοκεῖ. ΣΩΚ. Ἀποκρίνου δή· καὶ ἂν μὴ αὐτὸς σὺ σαυτοῦ ἀκούσῃς, ὅτι τὰ δίκαια συμφέροντά ἐστιν, ἄλλῳ λέγοντι μὴ πιστεύσῃς. ΑΛΚ. Οὔτοι· ἀλλ' ἀποκριτέον, καὶ γὰρ οὐδὲν οἴομαι βλαβήσεσθαι. ΣΩΚ. Μαντικὸς γὰρ εἶ· καί μοι λέγε. τῶν δικαίων φῂς ἔνια μὲν συμφέρειν, ἔνια δ' οὔ; ΑΛΚ. Ναί. ΣΩΚ. Τί δέ; τὰ μὲν καλὰ εἶναι αὐτῶν, τὰ δ' οὔ; ΑΛΚ. Πῶς τοῦτο ἐρωτᾷς; ΣΩΚ. Εἴ τις ἤδη σοι

oſtendere, meditare nunc coram me, atque enitere, ut oſtendas mihi, quod juſtum eſt, id aliquando non prodeſſe. ALC. Contumelioſus es, O Socrates. SOC. Nunc per contumeliam demonſtraturus ſum tibi contraria eorum quæ tu mihi non vis. ALC. Dic. SOC. Reſponde modo interroganti. ALC. Minime, ſed tu ipſe dicas. SOC. Nonne vis quam maxime perſuaderi? ALC. Prorſus. SOC. Si dixeris hæc ita ſe habere, annon eris maxime perſuaſus? ALC. Mihi quidem videtur. SOC. Reſponde igitur: nam niſi a teipſo audieris juſta omnia utilia eſſe, alteri dicenti ne credas. ALC. Non credam; ſed jam reſpondendum eſt: nihil enim periculi eſſe exiſtimo. SOC. Vates profecto es, verum dic. Juſtorum alia prodeſſe aſſeris, quædam minime? ALC. Aſſero. SOC. Quid autem? horum partim eſſe pulchra, partim contra? ALC. Quomodo hoc interrogas? SOC. Utrum

ἔδοξεν αἰσχρὰ μὲν, δίκαια δὲ, πράττειν; ΑΛΚ. Οὐκ ἔμοιγε. ΣΩΚ. Ἀλλὰ πάντα τὰ δίκαια καὶ καλά; ΑΛΚ. Ναί. ΣΩΚ. Τί δ' αὖ τὰ καλά; πότερον πάντα ἀγαθὰ, ἢ τὰ μὲν, τὰ δ' οὔ; ΑΛΚ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες, ἔνια τῶν καλῶν κακὰ εἶναι. ΣΩΚ. Ἦ καὶ αἰσχρὰ, ἀγαθά; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρα λέγεις τὰ τοιάδε, οἷον πολλοὶ ἐν πολέμῳ βοηθήσαντες ἑταίρῳ ἢ οἰκείῳ, τραύματα ἔλαβον καὶ ἀπέθανον, οἱ δ' οὐ βοηθήσαντες, δέον, ὑγιεῖς ἀπῆλθον; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Οὐκοῦν τὴν τοιαύτην βοήθειαν καλὴν μὲν λέγεις, κατὰ τὴν ἐπιχείρησιν τοῦ σῶσαι οὓς ἔδει; τοῦτο δ' ἐστὶν ἀνδρία, ἢ οὔ; ΑΛΚ. Ναί. ΣΩΚ. Κακὴν δέ γε κατὰ τοὺς θανάτους τε καὶ τὰ ἕλκη· ἢ γάρ; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρ' οὖν οὐκ ἄλλο μὲν ἡ ἀνδρία, ἄλλο δὲ ὁ θάνατος; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Οὐκ ἄρα κατὰ ταυτόν γε ἐστὶ καλὸν καὶ κακὸν, τὸ τοῖς φίλοις βοηθεῖν. ΑΛΚ. Οὐ φαίνεται.

quiſpiam tibi aliquando viſus ſit turpia quidem facere, ſed tamen juſta? ALC. Mihi nunquam. SOC. Omnia itaque juſta etiam pulchra. ALC. Ita. SOC. Rurſus pulchra utrum omnia bona, an partim bona, partim mala? ALC. Arbitror equidem, O Socrates, nonnulla ex pulchris mala eſſe. SOC. Et turpia quædam bona? ALC. Certe. SOC. Nunquid tale quiddam dicis, perinde ac ſi nonnulli, dum in prælio amico vel propinquo cuidam opem ferrent, vulnerati perierint: qui vero auxilium cum debuiſſent, non tulerunt, incolumes diſceſſerint? ALC. Et maxime quidem. SOC. Nonne auxilium hujuſmodi pulchrum appellas, ubi quis ſervare conatur quos oportebat? eaque fortitudo eſt? ALC. Profecto. SOC. Malum vero vocas ob interitus ac vulnera; nunquid? ALC. Voco. SOC. Annon eſt aliud fortitudo, aliud mors? ALC. Aliud. SOC. Non ergo ſecundum idem pulchrum ſimul ac malum eſt, amicis opem ferre. ALC. Non videtur.

ιβ'. ΣΩΚ. Ὅρα τοίνυν εἰ ᾗ γε καλὸν, καὶ ἀγαθὸν, ὥσπερ ἐνταῦθα· κατὰ τὴν ἀνδρείαν γὰρ ὡμολόγεις καλὸν εἶναι τὴν βοήθειαν. τοῦτ' οὖν αὐτὸ σκόπει, τὴν ἀνδρίαν, ἀγαθὸν ἢ κακόν; ὧδε δὲ σκόπει· σὺ πότερα ἂν δέξαιό σοι εἶναι, ἀγαθὰ ἢ κακά; ΑΛΚ. Ἀγαθά. ΣΩΚ. Οὐκοῦν τὰ μέγιστα; ΑΛΚ. Μάλιστα, ΣΩΚ. Καὶ ἥκιστα τῶν τοιούτων δέξαιο ἂν στέρεσθαι; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Πῶς οὖν λέγεις περὶ ἀνδρείας; ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο στέρεσθαι; ΑΛΚ. Οὐδὲ ζῆν ἂν ἐγὼ δεξαίμην, δειλὸς ὤν. ΣΩΚ. Ἔσχατον ἄρα σοι κακὸν εἶναι δοκεῖ ἡ δειλία; ΑΛΚ. Ἐμοί γε. ΣΩΚ. Ἐξ ἴσου τῷ τεθνάναι, ὡς ἔοικε. ΑΛΚ. Φημί. ΣΩΚ. Οὐκοῦν θανάτῳ τε καὶ δειλίᾳ ἐναντιώτατα ζωὴ καὶ ἀνδρία; ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ τὰ μὲν μάλιστα εἶναι βούλοιό σοι, τὰ δὲ ἥκιστα; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρ' ὅτι τὰ μὲν, ἄριστα ἡγῇ, τὰ δὲ, κάκιστα; ΑΛΚ. Πάνυ γε.

12. SOC. Vide itaque utrum qua ratione pulchrum, etiam bonum ſit; quemadmodum in iis: nam quoad fortitudinem, concedis pulchrum eſſe auxilium ferre. Ipſa igitur fortitudo bonumne an malum eſt? Sic autem conſidera; Utra velles adeſſe tibi, bona an mala? ALC. Bona. SOC. Nonne maxima? ALC. Maxima. SOC. Ac minime omnium his privari velles? ALC. Quidni? SOC. Quid de fortitudine dicis? quanto illam pretio commutares? ALC. Ne vivere quidem vellem, ſi timidus eſſem. SOC. Extremumne malum tibi videtur eſſe timiditas? ALC. Mihi vero. SOC. Æque *malum* ac ipſa mors, ut videtur. ALC. Æque. SOC. Morti ergo & timiditati vita & fortitudo contraria ſunt? ALC. Sunt. SOC. Et hæc quidem maxime optares adeſſe tibi; illa minime? ALC. Certe. SOC. Annon ex eo, quod hæc optima, illa peſſima eſſe cenſes? ALC. Prorſus.

ΣΩΚ. Τὸ ἄρα βοηθεῖν ἐν πολέμῳ τοῖς φίλοις, ᾗ μὲν καλὸν, κατ' ἀγαθοῦ πρᾶξιν τὴν τῆς ἀνδρείας, καλὸν αὐτὸ προσεῖπας; ΑΛΚ. Φαίνομαί γε. ΣΩΚ. Κατὰ δέ γε κακοῦ πρᾶξιν τὴν τοῦ θανάτου, κακόν; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν ὧδε δίκαιον προσαγορεύειν ἑκάστην τῶν πράξεων; εἴπερ ᾗ κακὸν ἐργάζεται, κακὴν καλεῖς, καὶ ᾗ ἀγαθὸν, ἀγαθὴν κλητέον; ΑΛΚ. Εμοιγε δοκεῖ. ΣΩΚ. Αρ' οὖν καὶ ᾗ ἀγαθὸν, καλόν· ᾗ δὲ κακὸν, αἰσχρόν; ΑΛΚ. Ναί. ΣΩΚ. Τὴν ἄρα ἐν τῷ πολέμῳ τοῖς φίλοις βοήθειαν λέγων καλὴν μὲν εἶναι, κακὴν δὲ, οὐδὲν διαφερόντως λέγεις, ἢ εἰ [1] προεῖπες αὐτὴν ἀγαθὴν μὲν, κακὴν δέ. ΑΛΚ. Αληθῆ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες. ΣΩΚ. Οὐδὲν ἄρα τῶν καλῶν, καθόσον καλὸν, κακόν· οὐδὲ τῶν αἰσχρῶν, καθόσον αἰσχρὸν, ἀγαθόν. ΑΛΚ. Οὐ φαίνεται.

ιγ'. ΣΩΚ. Ετι τοίνυν καὶ ὧδε σκέψαι. ὅστις καλῶς

SOC. Igitur auxilium ferre amicis in prælio, pulchrum quidem vocabas quoad boni, id est fortitudinis, actionem. ALC. Videor sane. SOC. Quoad vero actionem mali, id est mortis, malum. ALC. Certe. SOC. Annon congruum est, sic unamquamque actionem denominare? si nempe eam, prout malum fert, malam appellas, annon, prout fert bonum, bonam vocare decet? ALC. Videtur. SOC. Nonne etiam qua bonum, pulchrum; qua malum, turpe? ALC. Maxime. SOC. Cum ergo dicis auxilium ferre amicis in bello, pulchrum esse, sed malum, perinde est ac si dicas, ipsum bonum quidem, malum tamen. ALC. Vera mihi dicere videris, O Socrates. SOC. Nihil igitur pulchrum quatenus pulchrum malum est, neque turpe quicquam quatenus turpe bonum. ALC. Non videtur.

13. SOC. Præterea hunc in modum considera: quisquis

1 F. προσεῖπες.

πράττει, οὐχὶ καὶ εὖ πράττει; ΑΛΚ. Ναί. ΣΩΚ. Οἱ δ' εὖ πράττοντες, οὐκ εὐδαίμονες; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Οὐκοῦν εὐδαίμονες δι' ἀγαθῶν κτῆσιν; ΑΛΚ. Μάλιστα. ΣΩΚ. Κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς πράττειν; ΑΛΚ. Ναί. ΣΩΚ. Τὸ εὖ ἄρα πράττειν, ἀγαθόν. ΑΛΚ. Πῶς δ' οὔ; ΣΩΚ. Οὐκοῦν καλὸν ἡ εὐπραγία; ΑΛΚ. Ναί. ΣΩΚ. Ταυτὸν ἄρα ἐφάνη ἡμῖν πάλιν αὖ καλόν τε καὶ ἀγαθόν. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Ὅ, τι ἂν ἄρα εὕρωμεν καλόν τε καὶ ἀγαθὸν εὑρήσομεν ἔκ γε τούτου τοῦ λόγου. ΑΛΚ. Ἀνάγκη. ΣΩΚ. Τί δέ; τὰ ἀγαθὰ συμφέρει, ἢ οὔ; ΣΩΚ. Συμφέρει. ΣΩΚ. Μνημονεύεις οὖν περὶ τῶν δικαίων πῶς ὡμολογήσαμεν; ΑΛΚ. Οἶμαί γε τοὺς δίκαια πράττοντας, ἀναγκαῖον εἶναι καλὰ πράττειν. ΣΩΚ. Οὐκοῦν τοὺς τὰ καλά, ἀγαθά; ΑΛΚ. Ναί. ΣΩΚ. Τὰ δὲ ἀγαθὰ συμφέρει; ΑΛΚ. Ναί. ΣΩΚ. Τὰ δίκαια ἄρα, ὦ

pulchre agit, nonne bene agit? ALC. Utique. SOC. Bene autem agentes, nonne felices? ALC. Quidni? SOC. Annon felices propter bonorum possessionem? ALC. Maxime. SOC. Acquirunt autem hæc ex eo quod pulchre ac bene agunt? ALC. Certe. SOC. Igitur bene agere bonum. ALC. Quidni? SOC. Nonne pulchrum actio bona? ALC. Certe. SOC. Idem itaque rursus apparet nobis pulchrum ac bonum. ALC. Apparet. SOC. Quicquid igitur inveniemus pulchrum esse, idem quoque bonum existere hâc ratione reperiemus. ALC. Necesse est. SOC. Bona autem utilia sunt, annon? ALC. Utilia. SOC. Meministi itaque, quid supra de justis concessimus? ALC. Reor, justa agentes necessarium esse pulchra facere. SOC. Pulchra vero agentes, nonne etiam bona? ALC. Ita. SOC. Et bona esse utilia? ALC. Penitus. SOC. Justa igitur, O

Ἀλκιβιάδη, συμφέροντά 'ἐστιν. ΑΛΚ. Ἔοικε. ΣΩΚ. Τί οὖν; ταῦτα οὐ σὺ ὁ λέγων εἶ, ἐγὼ δὲ ὁ ἐρωτῶν; ΑΛΚ. Φαίνομαι, ὡς ἔοικα. ΣΩΚ. Εἰ οὖν τις ἀνίσταιτο συμβουλεύσων εἴτε Ἀθηναίοις, εἴτε Πεπαρηθίοις, οἰόμενος γιγνώσκειν τὰ δίκαια καὶ τὰ ἄδικα, φήσει δὲ εἰδέναι τὰ δίκαια κακὰ ἐνίοτε, ἄλλό τι ἢ καταγελῴης ἂν αὐτοῦ, ἐπειδήπερ τυγχάνεις καὶ σὺ λέγων, ὅτι ταυτά 'ἐστι δίκαιά τε καὶ ξυμφέροντα; ΑΛΚ. Ἀλλὰ μὰ τοὺς θεοὺς, ὦ Σώκρατες, οὐκ οἶδα ἔγωγε οὐδ' ὅ, τι λέγω, ἀλλ' ἀτεχνῶς ἔοικα ἀτόπως ἔχοντι· τοτὲ μὲν γάρ μοι ἕτερα δοκεῖ σου ἐρωτῶντος, τοτὲ δὲ ἄλλα. ΣΩΚ. Εἶτα τοῦτο, ὦ φίλε, ἀγνοεῖς τὸ πάθημα, τί 'ἐστι; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Οἴει ἂν οὖν, εἴ τις ἐρωτῴη σε, δύο ὀφθαλμοὺς ἢ τρεῖς ἔχεις, καὶ δύο χεῖρας ἢ τέτταρας, ἢ ἄλλό τι τῶν τοιούτων, τοτὲ μὲν ἕτερα ἂν ἀποκρίνασθαι, τοτὲ δὲ ἄλλα, ἢ ἀεὶ τὰ αὐτά; ΑΛΚ. Δέδοικα μὲν ἔγωγε ἤδη περὶ ἐμαυτοῦ· οἶμαι μέντοι, τὰ αὐτά. ΣΩΚ. Οὐκ-

Alcibiades, utilia ſunt. ALC. Videtur. SOC. Hæc nonne ipſe dixiſti, ego autem interrogavi? ALC. Apparet. SOC. Si quis igitur ſurgat cum Athenienſibus vel Peparethiis conſultaturus, putans juſta ſe & injuſta dignoſcere, dicatque ſcire ſe juſta interdum eſſe mala, nonne ipſum irrideres, cum tu aſſeras eadem juſta ac utilia eſſe? ALC. Per Deos, O Socrates, quid dicam neſcio, ſed revera abſurdo quodam modo habere me videor: nam nunc hæc vera mihi videntur, interrogante te; nunc illa. SOC. Ignoras, O Amice, quænam hæc affectio ſit? ALC. Ignoro. SOC. Si quis te interrogaſſet, duoſne an tres oculos habeas, manuſve duas an quatuor, aut aliud quiddam hujuſmodi, putaſne illi te nunc hoc, nunc illud, an idem ſemper reſponſurum fuiſſe? ALC. Etſi de meipſo jam vereor, puto tamen eadem *me reſponſurum.*

οὖν, ὅτι οἶσθα, τοῦτ' αἴτιον; ΑΛΚ. Οἶμαί ἔγωγε. ΣΩΚ. Περὶ ὧν ἄρα ἄκων τὰ ἐναντία ἀποκρίνῃ, δῆλον ὅτι περὶ τούτων οὐκ οἶσθα. ΑΛΚ. Εἰκός γε. ΣΩΚ. Οὐκοῦν γε καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ καλῶν καὶ αἰσχρῶν, καὶ κακῶν καὶ ἀγαθῶν, καὶ συμφερόντων καὶ μή, ἀποκρινόμενος φὴς πλανᾶσθαι; εἶτα οὐ δῆλον, ὅτι διὰ τὸ μὴ εἰδέναι περὶ αὐτῶν, διὰ ταῦτα πλανᾷ; ΑΛΚ. Ἔμοιγε. ΣΩΚ. Ἆρ' οὖν οὕτω καὶ ἔχει, ἐπειδάν τις τί μὴ εἰδῇ, ἀναγκαῖον περὶ [1] τούτων πλανᾶσθαι τὴν ψυχήν; ΑΛΚ. Πῶς γὰρ οὔ; ΑΛΚ. Τί οὖν; οἶσθα ὅντινα τρόπον ἀναβήσῃ εἰς τὸν οὐρανόν; ΑΛΚ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩΚ. Ἦ καὶ πλανᾶταί σου ἡ δόξα περὶ [2] ταῦτα; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Τὸ δ' αἴτιον οἶσθα, ἢ ἐγὼ φράσω; ΑΛΚ. Φράσον. ΣΩΚ. Ὅτι, ὦ φίλε, οὐκ οἴει αὐτὸ ἐπίστασθαι, οὐκ ἐπιστάμενος. ΑΛΚ. Πῶς αὖ τοῦτο λέγεις; ΣΩΚ. Ὅρα καὶ σὺ κοινῇ. ἃ μὴ ἐπίστασαι, γινώσκεις δὲ ὅτι οὐκ ἐπίστασαι, πλανᾷ

SOC. Annon hæc cauſa eſt, *ſcilicet* quia cognoſcis? ALC. Arbitror. SOC. De quibus igitur invitus contraria reſpondes, conſtat illa te ignorare. ALC. Conſentaneum eſt. SOC. Nonne circa juſta & injuſta, pulchra & turpia, bona & mala, utilia & inutilia reſpondentem te erraſſe fateris? deinde nonne manifeſtum eſt, ideo erraviſſe, quod ignoraveris? ALC. Videtur. SOC. Num ita ſe res habet, ut, ſi quis quid ignoret, illius animum circa id errare neceſſe ſit? ALC. Quidni? SOC. Sciſne quo pacto in cœlum aſcendas? ALC. Minime per Jovem. SOC. Num errat circa hæc opinio tua? ALC. Non certe. SOC. Scis autem hujus cauſam, an me dicere mavis? ALC. Dic. SOC. Quoniam, amice, cum neſcias, non putas te ſcire. ALC. Quomodo rurſus id ais? SOC. Cogita tu quoque mecum. Quæ neſcis, cognoſciſque te ea neſcire, num in illis laberis; quemad-

1 F, τούτου. *Ita MS.* 2 F. τοῦτο.

περὶ τὰ τοιαῦτα; ὥσπερ περὶ ὄψου σκευασίας, οἶσθα δή που ὅτι οὐκ οἶσθα; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Πότερον οὖν αὐτὸς περὶ ταῦτα δοξάζεις ὅπως χρὴ σκευάζειν, καὶ πλανᾷ, ἢ τῷ ἐπισταμένῳ ἐπιτρέπεις; ΑΛΚ. Οὕτω. ΣΩΚ. Τί δ' εἰ ἐν νηὶ πλέοις; ἆρα δοξάζοις ἂν πότερον χρὴ τὸν οἴακα εἴσω ἄγειν, ἢ ἔξω, καὶ ἅτε οὐκ εἰδὼς πλανῷο ἄν, ἢ τῷ κυβερνήτῃ ἐπιτρέψας ἂν ἡσυχίαν ἄγοις; ΑΛΚ. Τῷ κυβερνήτῃ. ΣΩΚ. Οὐκ ἄρα περὶ ἃ μὴ οἶσθα πλανᾷ, ἄνπερ εἰδῇς ὅτι οὐκ οἶσθα. ΑΛΚ. Οὐκ ἔοικα. ΣΩΚ. Εννοεῖς οὖν ὅτι καὶ τὰ ἁμαρτήματα ἐν τῇ πράξει διὰ ταύτην τὴν ἄγνοιαν ἐστί, τὴν τοῦ μὴ εἰδότα οἴεσθαι εἰδέναι; ΑΛΚ. Πῶς αὖ λέγεις τοῦτο; ΣΩΚ. Τότε που ἐπιχειροῦμεν πράττειν, ὅταν οἰώμεθα εἰδέναι ὅ, τι πράττομεν. ΑΛΚ. Ναί. ΣΩΚ. Οταν δέ γέ που τινὲς μὴ οἴωνται εἰδέναι, ἄλλοις παραδιδόασι. ΑΛΚ. Πῶς δ' οὔ; ΣΩΚ. Οὐκοῦν (a) οἱ τοιοῦτοι τῶν μὴ εἰδότων ἀναμάρτητοι ζῶσι, διὰ

modum de parandis obsoniis nosti sane te nescire? ALC. Penitus. SOC. Utrum circa hæc opinaris quomodo parare conveniat, atque erras? an potius scienti concedis? ALC. Ita profecto. SOC. Quid si navigares, nunquid opinareris gubernaculum nunc ad interiora, nunc ad exteriora flectendum, ac utpote nescius errares? an potius gubernatori concedens quiesceres? ALC. Gubernatori. SOC. Non igitur erras in iis quæ nescis, si nescire te noveris. ALC. Non videtur. SOC. Cernis itaque errores in actionibus fieri ob hanc ignorantiam, quod qui nescit scire se putat? ALC. Quo pacto id ais? SOC. Tunc agere aggredimur, cum scire nos putamus id quod agimus. ALC. Ita est. SOC. Contra, qui ignorantiæ suæ conscii sibi sunt, aliis se committunt. ALC. Quidni? SOC. Quapropter ex ignorantibus hi soli sine cul-

ὃ ἄλλοις περὶ αὐτῶν ἐπιτρέπειν; ΑΛΚ. Ναί. ΣΩΚ. Τίνες οὖν οἱ ἁμαρτάνοντες; οὐ γάρ που οἵ γε εἰδότες. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἐπειδὴ δὲ οὔθ' οἱ εἰδότες, οὔθ' οἱ τῶν μὴ εἰδότων εἰδότες ὅτι οὐκ ἴσασιν, ἢ ἄλλοι λείπονται, ἢ οἱ μὴ εἰδότες, οἰόμενοι δ' εἰδέναι; ΑΛΚ. Οὔκ· ἀλλὰ οὗτοι. ΣΩΚ. Αὕτη ἄρα ἡ ἄγνοια τῶν κακῶν αἰτία, καὶ ἡ ἐπονείδιστος ἀμαθία. ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν ὅταν ᾖ περὶ τὰ μέγιστα, τότε κακουργοτάτη καὶ αἰσχίστη; ΑΛΚ. [1] Πολλή γε. ΣΩΚ. Τί οὖν; ἔχεις μείζω εἰπεῖν δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν καὶ ξυμφερόντων; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐκοῦν περὶ ταῦτα σὺ φὴς πλανᾶσθαι; ΑΛΚ. Ναί. ΣΩΚ. Εἰ δὲ πλανᾷ, ἆρ' οὐ δῆλον ἐκ τῶν ἔμπροσθεν ὅτι οὐ μόνον ἀγνοεῖς τὰ μέγιστα, ἀλλὰ καὶ οὐκ εἰδὼς οἴει ταῦτα εἰδέναι; ΑΛΚ. Κινδυνεύω.

ιδ'. ΣΩΚ. Βαβαὶ ἄρα, ὦ Ἀλκιβιάδη, οἷον πάθος πέ-

pa vitam agunt, ex eo quod aliorum curæ se credunt. ALC. Profecto. SOC. Quinam igitur peccant? non enim scientes. ALC. Non certe. SOC. At cum neque scientes, neque ex ignorantibus ii qui ignorantiæ suæ sibi conscii sunt, quinam alii restant, nisi ii, qui cum nesciant, scire se putant? ALC. Ii soli. SOC. Hæc igitur ignorantia malorum causa est, & vituperanda inscitia. ALC. Nempe. SOC. Et quando circa maxima est, tunc deterrima atque turpissima. ALC. Maxime. SOC. Num potes dicere quid præstantius sit quam justa, & pulchra, & bona & utilia? ALC. Nequaquam. SOC. Nonne circa hæc errasse te asseris? ALC. Assero. ALC. Quod si erras, nonne ex superioribus perspicuum est, quod non modo maxima ignoras, verum etiam cum sis ignarus, scire tamen te putas? ALC. Videor.

14. SOC. Papæ, O Alcibiades, quo pressus es morbo?

1 F. πολύ γε. *Ita MS.*

πονθας, ὃ ἐγὼ ὀνομάζειν μὲν ὀκνῶ, ὅμως δὲ, ἐπειδὴ μόνω ἐσμὲν, ῥητέον. ἀμαθίᾳ γὰρ ξυνοικεῖς, ὦ βέλτιστε, τῇ ἐσχάτῃ, ὡς ὁ λόγος σου κατηγορεῖ, καὶ σὺ σαυτοῦ. διὸ καὶ ᾄττεις ἄρα πρὸς τὰ πολιτικὰ πρὶν παιδευθῆναι. πέπονθας δὲ τοῦτο οὐ σὺ μόνος, ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων τὰ τῆσδε τῆς πόλεως, πλὴν ὀλίγων τε καὶ ἴσως τοῦ σοῦ ἐπιτρόπου Περικλέους. ΑΛΚ. Λέγεταί γε, ὦ Σώκρατες, οὐκ ἀπὸ ταυτομάτου σοφὸς γενονέναι, ἀλλὰ πολλοῖς καὶ σοφοῖς συγγεγονέναι, καὶ Πυθοκλείδῃ, καὶ Ἀναξαγόρᾳ. καὶ νῦν, τηλικοῦτος ὢν, Δάμωνι ξύνεστιν αὐτοῦ τούτου ἕνεκα. ΣΩΚ. Τί οὖν; ἤδη τινὰ εἶδες σοφὸν ὁτιοῦν, ἀδυνατοῦντα ποιῆσαι ἄλλον σοφὸν, ἅπερ αὐτός; ὥσπερ ὅς σε ἐδίδαξε γράμματα, αὐτός τε ἦν σοφὸς, καὶ σὲ ἐποίησε, τῶν τε ἄλλων ὅν τινα ἐβούλετο. ἦ γάρ; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν καὶ σὺ, ὁ παρ' ἐκείνου μαθὼν, ἄλλον οἷός τε ἔσῃ; ΑΛΚ. Ναί.

hunc equidem nominare horresco; veruntamen, cum soli sumus, dicendum est. In turpissima namque inscitia, optime vir, versaris, id quod ipse oratione tua satis declaras. Itaque prius in civilia ruis, quam sis gubernandi peritus. Neque te solum morbus hic tenuit, verum etiam omnes qui hanc rempublicam administrarunt, præter admodum paucos, ac fortasse præter tutorem tuum Periclem. ALC. Fertur, O Socrates, non casu quodam sapiens evasisse Pericles, sed multis ac sapientibus viris familiariter usus cum sit, Pythoclide in primis & Anaxagora: & nunc etiam tam grandis natu, sapientiæ gratia Damone utitur. SOC. Num quem vidisti sapientem, qui in ea re, in qua ipse sapit, alium sapientem efficere non posset? veluti qui te in literis erudivit, ipse quidem erat sapiens, teque pariter reddidit sapientem: et eodem pacto quemvis alium poterat. ALC. Profecto. SOC. Et tu quoque eruditus ab illo, alium instruere poteris. ALC.

ΣΩΚ. Καὶ ὁ κιθαριστὴς δὲ καὶ ὁ παιδοτρίβης ὡσαύτως; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Καλὸν γὰρ δή που τοῦτο τεκμήριον τῶν ἐπισταμένων ὁτιοῦν ὅτι ἐπίστανται, ἐπειδὰν καὶ ἄλλον οἷοί τε ὦσιν ἀποδεῖξαι ἐπιστάμενον. ΑΛΚ. Ἐμοί γε δοκεῖ. ΣΩΚ. Τί οὖν; ἔχεις εἰπεῖν Περικλῆς τίνα ἐποίησε σοφόν, ἀπὸ τῶν υἱέων ἀρξάμενος; ΑΛΚ. Τί δ' εἰ τὼ Περικλέους υἱέε ἠλιθίω ἐγενέσθην, ὦ Σώκρατες; ΣΩΚ. Ἀλλὰ Κλεινίαν τὸν σὸν ἀδελφόν; ΑΛΚ. Τί δ' ἂν αὖ Κλεινίαν λέγοις, μαινόμενον ἄνθρωπον; ΣΩΚ. Ἐπειδὴ τοίνυν Κλεινίας μὲν μαίνεται, τὼ δὲ Περικλέους υἱέε ἠλιθίω ἐγενέσθην, σοὶ τίνα αἰτίαν ἀναθῶμεν διότι σὲ οὕτως ἔχοντα περιορᾷ; ΑΛΚ. Ἐγὼ οἶμαι αἴτιος, οὐ προσέχων τὸν νοῦν. ΣΩΚ. Ἀλλὰ τῶν ἄλλων Ἀθηναίων ἢ τῶν ξένων, δοῦλον ἢ ἐλεύθερον, εἰπὲ ὅστις αἰτίαν ἔχει διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονέναι, ὥσπερ ἐγὼ ἔχω σοι εἰπεῖν, διὰ τὴν Ζήνωνος, Πυθόδωρον τὸν Ἰσολόχου,

Potero. SOC. Similiter citharœdus & magiſter gymnaſii. ALC. Penitus. SOC. Optimum enim argumentum eſt, eos, qui aliquid ſciunt, id revera ſcire, ſi alium *quemvis* potegrunt *in ea re* efficere ſcientem. ALC. Mihi quidem videtur. SOC. Num habes itaque quem dicere poſſis a Pericle ſapientem factum, a filiis incipiens? ALC. Quid ſi Periclis filii ſtolidi fuerunt? SOC. At vero fratrem tuum Cliniam? ALC. Quid rurſum Cliniam commemoras, hominem inſanum? SOC. Poſtquam Clinias quidem furit, filii vero Periclis ſtolidi nati ſunt, tibi quam cauſam aſcribemus, propter quam te, cum talis ſis, negligat? ALC. Ego ipſe, ut arbitror, in culpa ſum, cum illi mentem non adhibuerim. SOC. Verum ex Athenienſibus, vel peregrinis, dic quiſnam, vel ſervus, vel liber, ſapientior propter Periclis conſuetudinem factus ſit; ſicuti tibi ego dicere poſſum propter Ze-

καὶ Καλλίαν τὸν Καλλιάδου, ὧν ἑκάτερος, Ζήνωνι ἑκατὸν μνᾶς τελέσας, σοφός τε καὶ ἐλλόγιμος γέγονει. ΑΛΚ. Ἀλλὰ μὰ Δί᾽ οὐκ ἔχω. ΣΩΚ. Εἶεν· τί οὖν διανοῇ περὶ σαυτοῦ; πότερον ἐᾶν ὡς νῦν ἔχεις, ἢ ἐπιμέλειάν τινα ποιεῖσθαι; ΑΛΚ. Κοινῇ βουλῇ, ὦ Σώκρατες. καί τοι ἐννοῶ σου εἰπόντος καὶ ξυγχωρῶ. δοκοῦσι γάρ μοι οἱ τὰ τῆς πόλεως πράττοντες, ἐκτὸς ὀλίγων, ἀπαίδευτοι εἶναι. ΣΩΚ. Εἶτα τί δὴ τοῦτο; ΑΛΚ. Εἰ μέν που ἦσαν πεπαιδευμένοι, ἔδει ἂν τὸν ἐπιχειροῦντα αὐτοῖς ἀνταγωνίζεσθαι, μαθόντα καὶ ἀσκήσαντα, ἰέναι ὡς ἐπ᾽ ἀθλητάς. νῦν δ᾽ ἐπειδὴ καὶ οὗτοι ἰδιωτικῶς ἔχοντες ἐληλύθασιν ἐπὶ τὰ τῆς πόλεως, τί δεῖ ἀσκεῖν καὶ μανθάνοντα πράγματα ἔχειν; ἐγὼ γὰρ εὖ οἶδα ὅτι τούτων τῇ γε φύσει πάνυ πολὺ περιέσομαι.

ιε΄. ΣΩΚ. Βαβαί, οἷον, ὦ ἄριστε, τοῦτ᾽ εἴρηκας; ὡς

nonis familiaritatem Pythodorum Isolochi & Calliam Calliadæ filium; quorum uterque, centum minis Zenoni solutis, & sapiens evasit & eloquens. ALC. Per Jovem non habeo quem dicam. SOC. Esto. Quid ergo de te ipso cogitas? num permittere rem ita tecum esse ut nunc est, an *potius* aliquam *tui ipsius* curam habere? ALC. Communi consilio opus est, O Socrates: etenim tua dicta intelligo, eisque assentior. Nam qui Rempublicam administrant, præter admodum paucos, ineruditi mihi videntur. SOC. Quid tum? ALC. Si periti essent, oporteret eum, qui cum illis decertaturus esset, postquam didicisset, ac seipsum exercuisset, tunc demum tanquam contra Athletas ire: nunc autem postquam & isti, quamvis imperiti, ad Rempublicam accesserunt, quid exercitatione opus est mihi, aut molesta disciplina? Novi enim quod Naturæ dotibus longe hos superabo.

15. SOC. Papæ; quidnam, optime vir, dixisti? quam in-

ἀνάξιον τῆς ἰδέας, καὶ τῶν ἄλλων τῶν σοὶ ὑπαρχόντων. ΑΛΚ. Τί μάλιστα, καὶ πρὸς τί τοῦτο λέγεις, ὦ Σώκρατες; ΣΩΚ. Ἀγανακτῶ ὑπέρ τε τοῦ σοῦ, καὶ τοῦ ἐμοῦ ἔρωτος. ΑΛΚ. Τί δή; ΣΩΚ. Εἰ ἠξίωσας τὸν ἀγῶνά σοι εἶναι πρὸς τοὺς ἐνθάδε ἀνθρώπους. ΑΛΚ. Ἀλλὰ πρὸς τίνας μήν; ΣΩΚ. Ἄξιον τοῦτο καὶ ἔρεσθαι ἄνδρα οἰόμενον μεγαλόφρονα εἶναι; ΑΛΚ. Πῶς λέγεις; οὐ πρὸς τούτους μοι ὁ ἀγών; ΣΩΚ. Αρα κἂν, εἰ τριήρη διενοοῦ κυβερνᾶν μέλλουσαν ναυμαχεῖν, ἤρκει ἄν σοι τῶν συνναυτῶν βελτίστῳ εἶναι τὰ κυβερνητικά; ἢ ταῦτα μὲν ᾤου ἂν δεῖν ὑπάρχειν, ἀπέβλεπες δὲ εἰς τοὺς ὡς ἀληθῶς ἀνταγωνιστάς, ἀλλ᾽ οὐχ ὡς νῦν εἰς τοὺς συναγωνιστάς, ὧν δή που περιγενέσθαι σε δεῖ τοσοῦτον, ὥστε μὴ συνανταγωνίζεσθαι, ἀλλὰ καταφρονηθέντας συναγωνίζεσθαί σοι πρὸς τοὺς πολεμίους; εἰ δὴ τῷ ὄντι γε καλόν τι ἔργον ἀποδείξασθαι διανοῇ, καὶ ἄξιον σαυτοῦ τε καὶ τῆς πόλεως. ΑΛΚ.

dignum ſpecie tua, ac reliquis iſtis tuis dotibus? ALC. Quare? & quorſum hæc dicis, O Socrates? SOC. Dolet enim mihi tum propter te, tum ob meum erga te amorem. ALC. Quidnam? SOC. Quod putaveris adverſus homines, qui hic ſunt, tibi certamen fore. ALC. Adverſus quos igitur? SOC. Decetne, ut id quærat vir qui tanti ſe faciat? ALC. Quid ais? nonne adverſus iſtos mihi certamen? SOC. Num itaque, ſi triremem pugnaturam gubernare ſtatueres, ſatis tibi putares, cæteris nautis gubernando præſtare? An hoc quidem ita eſſe oportere putares, at ſimul ad veros tuos adverſarios potius, quam, quod nunc facis, ad ſocios reſpiceres, quibus te tantum oportet excellere, ut non eos æmulareris, ſed parvi potius pendens, ſeu miniſtris adverſus hoſtes utereris, ſi quidem revera egregium aliquod facinus edere velis, te ac republica tua dignum? ALC.

Ἀλλὰ μὲν δὴ διανοοῦμαί γε. ΣΩΚ. Πάνυ ἄρα σοι ἄξιον ἀγαπᾷν, εἰ τῶν στρατιωτῶν βελτίων εἶ, ἀλλ' οὐ πρὸς τῶν ἀντιπάλων ἡγεμόνας ἀποβλέπειν, ὁπότε ἐκείνων βελτίων γένοιο, σκοποῦντα καὶ ἀσκοῦντα πρὸς ἐκείνους. ΑΛΚ. Λέγεις δὲ τίνας τούτους, ὦ Σώκρατες; ΣΩΚ. Οὐκ οἶσθα ἡμῶν τὴν πόλιν Λακεδαιμονίοις τε καὶ τῷ μεγάλῳ Βασιλεῖ πολεμοῦσαν ἑκάστοτε; ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Οὐκοῦν εἴπερ ἐν νῷ ἔχεις ἡγεμὼν εἶναι τῆσδε τῆς πόλεως, ὡς πρὸς τοὺς Λακεδαιμονίων βασιλεῖς καὶ τοὺς Περσῶν τὸν ἀγῶνά σοι ἡγούμενος εἶναι, ὀρθῶς ἂν ἡγοῖο; ΑΛΚ. Κινδυνεύεις ἀληθῆ λέγειν. ΣΩΚ. Οὐκ, ὦ 'γαθέ· ἀλλὰ πρὸς Μειδίαν σε δεῖ τὸν ὀρτυγοτρόφον ἀποβλέπειν, καὶ ἄλλους τοιούτους, οἳ τὰ τῆς πόλεως πράττειν ἐπιχειροῦσιν, ἔτι τὴν ἀνδραποδώδη (φαῖεν ἂν αἱ γυναῖκες) τρίχα ἔχοντες ἐπὶ τῇ ψυχῇ ὑπ' ἀμουσίας, καὶ οὔπω ἀποβεβληκότες, ἔτι δὲ βαρβαρίζοντες, ἐληλύθασι κολακεύ-

At id quidem cogito. SOC. An decet igitur, ut ſatis putes, ſi tuorum militum præſtantiſſimus ſis, non autem reſpicias ad hoſtium duces, qua ratione illis potius excellas, in hos intentus ſemper & contra illos te exercitans? ALC. Quos dicis, O Socrates? SOC. Noſtin' urbem noſtram cum Lacedæmoniis, ac magno Perſarum rege, ſemper bellum gerere? ALC. Vera dicis. SOC. Nonne itaque, cum in animo habes hujus civitatis dux fieri, recte facias, ſi putes adverſus Lacedæmoniorum Perſarumq; Reges certamen te ſubiturum? ALC. Vera dicere videris. SOC. Non, O bone Vir: ſed in Midiam coturnicum nutritorem te decet intentum eſſe, & alios hujuſmodi, qui cum capillos, quos ſervi alebant, animo (quemadmodum mulierculæ dicerent) præ imperitia retinent, necdum abraſerint, rem publicam tamen tractare aggrediuntur, adhuc barbariem redolentes, & prodeunt adula-

σοντες τὴν πόλιν, ἀλλ' οὐκ ἄρξοντες· πρὸς τούτους σε δεῖ ὥσπερ λέγω βλέποντα, σαυτοῦ [1] ἢ ἀμελεῖν, καὶ μήτε μανθάνειν ὅσα μαθήσεως ἔχεται, μέλλοντα τοσοῦτον ἀγῶνα ἀγωνίζεσθαι, μήτε ἀσκεῖν ὅσα δεῖται ἀσκήσεως, καὶ πᾶσαν παρασκευὴν παρεσκευασμένον οὕτως ἰέναι ἐπὶ τὰ τῆς πόλεως; ΑΛΚ. Ἀλλ', ὦ Σώκρατες, δοκεῖς μέν μοι ἀληθῆ λέγειν· οἶμαι μέντοι τούς τε Λακεδαιμονίων στρατηγοὺς, καὶ τὸν Περσῶν βασιλέα, οὐδὲν διαφέρειν τῶν ἄλλων. ΣΩΚ. Ἀλλ', ὦ ἄριστε, τὴν οἴησιν ταύτην σκόπει οἵαν ἔχεις. ΑΛΚ. Τοῦ πέρι; ΣΩΚ. Πρῶτον μὲν, ποτέρως ἂν οἴει σαυτοῦ μᾶλλον ἐπιμεληθῆναι; φοβούμενός τε καὶ οἰόμενος δεινοὺς αὐτοὺς εἶναι, ἢ μή; ΑΛΚ. Δηλονότι, καὶ εἰ δεινοὺς οἰοίμην. ΣΩΚ. Μῶν οὖν οἴει τι βλαβήσεσθαι, ἐπιμεληθεὶς σαυτοῦ; ΑΛΚ. Οὐδαμῶς, ἀλλὰ καὶ μεγάλα ὀνήσεσθαι; ΣΩΚ. Οὐκοῦν ἓν μὲν τοῦτο τοσοῦτο κα-

turi civitati, non autem imperaturi. Iſtos, inquam, intuentem oportet te temetipſum negligere, & neque diſcere quæ ad eruditionem pertinent, cum ſis tantum certamen aditurus, neque exercere ea in quibus oportet te exerceri, nec quæ ſunt præparanda parare, ut ita demum inſtitutus civilem tandem adminiſtrationem capeſſas? ALC. O Socrates, vera mihi dicere videris: Arbitror tamen Lacedæmoniorum duces regemque Perſarum nihil ab aliis diſcrepare. SOC. At, O Vir optime, animadverte, qualis hæc ſit opinio tua. ALC. Qua in re? SOC. Utro modo te exiſtimas diligentius teipſum curaturum? ſi illos tanquam potentiſſimos eſſe credens, formides, an ſi minime eos timeas? ALC. Si potentes illos exiſtimavero. SOC. An cenſes curam, quam tute de te habes, alicubi tibi nocituram? ALC. Nullo modo: at contra maxime profuturam. SOC. Unum itaque hoc tan-

1 F. δή.

κὸν ἔχει ἡ οἴησις αὕτη. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Τὸ δεύτερον τοίνυν, ὅτι καὶ ψευδής ἐστιν, ἐκ τῶν εἰκότων σκέψαι. ΑΛΚ. Πῶς δή; ΣΩΚ. Πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν, ἢ μή; ΑΛΚ. Δηλονότι ἐν τοῖς γενναίοις. ΣΩΚ. Οὐκοῦν τοὺς εὖ φύντας, ἐὰν καὶ εὖ τραφῶσιν, οὕτω τελέους γίγνεσθαι πρὸς ἀρετήν; ΑΛΚ. Ἀνάγκη.

ιζ'. ΣΩΚ. Σκεψώμεθα δή, τοῖς ἐκείνων τὰ ἡμέτερα ἀντιθέντες, πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ Λακεδαιμονίων καὶ Περσῶν βασιλεῖς. ἢ οὐκ ἴσμεν, ὡς οἱ μὲν Ἡρακλέους, οἱ δὲ Ἀχαιμένους ἔκγονοι; τὸ δ' Ἡρακλέους τε γένος, καὶ τὸ Ἀχαιμένους, εἰς Περσέα τὸν Διὸς ἀναφέρεται. ΑΛΚ. Καὶ γὰρ τὸ ἡμέτερον, ὦ Σώκρατες, εἰς Εὐρυσάκη· ὁ δ' Εὐρυσάκης, εἰς Δία. ΣΩΚ. Καὶ γὰρ τὸ ἡμέτερον, ὦ γενναῖε Ἀλκιβιάδη, εἰς Δαίδαλον, ὁ δὲ Δαί-

tum malum iſta tua opinio ſecum fert. ALC. Vera dicis. SOC. Deinde eam falſam eſſe, ex iis quæ probabilia ſunt, conſideres. ALC. Quomodo? SOC. Utrum conſentaneum eſt, meliores eſſe indoles in nobili genere, quam ignobili? ALC. Manifeſtum quod in nobili. SOC. Nonne bene nati, ſi bene etiam educantur, ita demum ad virtutem perfectam perveniunt? ALC. Neceſſe eſt.

16. SOC. Conſideremus itaque, illis noſtra comparantes, primum quidem, utrum Lacedæmoniorum Perſarumque Reges ignobiliori quam nos genere orti videantur. An ignoramus illos quidem ab Hercule, hos autem ab Achemene, genus ducere? Herculis autem & Achemenis origo ad Perſem Jovis filium refertur. ALC. Et noſtrum quidem, O Socrates, ad Euryſacem, Euryſacis autem ad Jovem. SOC. Atqui noſtrum, O generoſe Alcibiades, ad Dædalum etiam, Dæ-

δαλος εἰς Ἥφαιστον τὸν Διός. ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμενα, βασιλεῖς εἰσιν ἐκ βασιλέων μέχρι Διός, οἱ μὲν, Ἄργους τε καὶ Λακεδαίμονος, οἱ δὲ, τῆς Περσίδος αἰεί, πολλάκις δὲ καὶ τῆς Ἀσίας, ὥσπερ καὶ νῦν. ἡμεῖς δὲ αὐτοί τε ἰδιῶται, καὶ οἱ πατέρες. εἰ δὲ καὶ τοὺς προγόνους σε δέοι καὶ τὴν πατρίδα Εὐρυσάκους ἐπιδεῖξαι Σαλαμῖνα, ἢ τὴν Αἰακοῦ τοῦ ἔτι προτέρου Αἴγιναν, Ἀρταξέρξῃ τῷ Ξέρξου πόσον ἂν οἴει γέλωτα ὀφλεῖν; ἀλλ' ὅρα μὴ τῷ τε γένους ὄγκῳ ἐλαττώμεθα τῶν ἀνδρῶν, καὶ τῇ ἄλλῃ τροφῇ. ἢ οὐκ ᾔσθησαι τοῖς τε Λακεδαιμονίων βασιλεῦσιν ὡς μεγάλα τὰ ὑπάρχοντα; ὧν αἱ γυναῖκες δημοσίᾳ φυλάττονται ὑπὸ τῶν ἐφόρων, ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενόμενος ὁ βασιλεὺς, ἢ ἐξ Ἡρακλειδῶν. ὁ δὲ Περσῶν τοσοῦτον ὑπερβάλλει, ὥστε οὐδεὶς ὑποψίαν ἔχει, ὡς ἐξ ἄλλου βασιλεὺς ἂν γένοιτο ἢ ἐξ αὐτοῦ. διὸ οὐ φρουρεῖται ἡ τοῦ βασιλέως γυνή, ἀλλ' ἢ ὑπὸ φόβου.

dalus autem ad Vulcanum Jovis filium. Verum iſtorum majores, ab iis incipientes, reges ſunt ex regibus uſque ad Jovem, illi quidem Argivorum & Spartæ, hi vero Perſidis ſemper, ſæpe etiam, ut et nunc, Aſiæ. Nos autem majoreſque noſtri privati. Quod ſi te oporteret progenitores ac patriam Euryſacis oſtendere Salamina, vel Æaci etiam ætate prioris Æginam, Artaxerxem Xerxis filium quo te riſu excepturum putas? Sed vide, ne & generis dignitate, & educatione præterea illis inferiores ſimus. Nunquid audiſti quanta ſit Lacedæmoniorum regum dignitas? quorum uxores publice obſervantur ab Ephoris, ut, quantum fieri poteſt, Rex non ex alio quam Heraclidarum genere latenter oriatur. Perſarum vero Rex adeo excellit, ut nemo ſuſpicetur regem ex alio, quam ex ipſo genitum fore: quamobrem regis uxor non, præterquam metu, cuſtoditur.

ιη'. Ἐπειδὰν δὲ γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗπερ ἡ ἀρχὴ, πρῶτον μὲν ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως ὧν ἂν ἄρχῃ, εἶτα εἰς τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ βασιλέως γενέθλια πᾶσα θύει καὶ ἑορτάζει ἡ Ἀσία. ἡμῶν δὲ γεννωμένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδ' οἱ γείτονες σφόδρα τοι αἰσθάνονται, ὦ Ἀλκιβιάδη. μετὰ τοῦτο τρέφεται ὁ παῖς, οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ' ὑπ' εὐνούχων, οἱ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι· οἷς τά τε ἄλλα προστέτακται ἐπιμελεῖσθαι τοῦ γεννωμένου, καὶ ὅπως ὁ τι κάλλιστος ἔσται μηχανᾶσθαι, ἀναπλάττοντας τά τε μέλη τοῦ παιδὸς καὶ κατορθοῦντας. καὶ ταῦτα δρῶντες ἐν μεγάλῃ τιμῇ εἰσίν. ἐπειδὰν δὲ ἑπτέτεις γίνονται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους, καὶ ἐπὶ τῶν τούτων διδασκάλους φοιτῶσι, καὶ ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι. δὶς ἑπτὰ δὲ γενομένων ἐτῶν, τὸν παῖδα παραλαμβάνουσιν, οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς ὀνομάζουσιν. εἰσὶ δὲ ἐξειλεγμένοι Περ-

17. Poſtquam vero natus eſt primogenitus, qui ſuccedit in regnum, primo quidem eum diem omnes qui ſub regno ſunt celebrant, deinde in poſterum quotannis natalem illum regis diem ſacris ac feſtis omnis Aſia colit. Cum vero apud nos quis naſcitur, ne vicini quidem, ut ait Comœdus, ſentiunt, O Alcibiades. Deinceps nutritur puer, non a muliere nutrice parum honorifica, verum ab Eunuchis, qui eorum qui circa regem ſunt optimi videantur, quibus & alia, quæ ſpectant ad curam pueri, demandantur, ac præcipue, ut natum quam pulcherrimum reddant, componentes membra ejus atque dirigentes. Atque hæc facientes magno in honore habentur. Cum autem pueri ſeptimum ætatis annum impleverunt, ad equos & equeſtris artis magiſtros ſe conferunt, deinde in venationem tendunt. Anno vero decimo quarto puerum ſuſcipiunt ii quos regios pædagogos appellant. Sunt autem ii ex om-

σῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέτταρες, ὅ, τε σοφώτατος, καὶ ὁ δικαιότατος, καὶ ὁ σωφρονέστατος, καὶ ὁ ἀνδρειότατος. ὧν ὁ μὲν μαγείαν τε διδάσκει τὴν Ζωροάστρου τοῦ Ὡρομάζου· (ἔστι δὲ τοῦτο θεῶν θεραπεία·) διδάσκει δὲ καὶ τὰ βασιλικά. ὁ δὲ δικαιότατος, ἀληθεύειν διὰ παντὸς τοῦ βίου· ὁ δὲ σωφρονέστατος, μηδ᾽ ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν, (ἵνα ἐλεύθερος εἶναι ἐθίζηται, καὶ ὄντως βασιλεὺς ἄρχων πρῶτα τῶν ἐν αὑτῷ, ἀλλὰ μὴ δουλεύων·) ὁ δὲ ἀνδρειότατος, ἄφοβον καὶ ἀδεᾶ παρασκευάζων, [1] ὅταν δείσῃ, δοῦλον ὄντα. σοὶ δ᾽, ὦ Ἀλκιβιάδη, Περικλῆς ἐπέστησε παιδαγωγὸν τῶν οἰκετῶν τὸν ἀχρειότατον ὑπὸ γήρως, Ζώπυρον τὸν Θρᾷκα. διῆλθον δὲ καὶ τὴν ἄλλην ἄν σοι τῶν ἀνταγωνιστῶν τροφήν τε καὶ παιδείαν, εἰ μὴ πολὺ ἔργον ἦν, καὶ ἅμα ταῦτα ἱκανὰ δηλῶσαι καὶ τἆλλα ὅσα τούτοις ἀκόλουθα. τῆς δὲ σῆς γενέσεως, ὦ Ἀλκιβιάδη, καὶ τροφῆς, καὶ παιδείας, ἢ ἄλλου ὁτουοῦν, Ἀθηναίων (ὡς ἔπος εἰπεῖν) οὐδενὶ μέλει,

nibus Persis electi præcipuique adulta ætate quatuor, sapientissimus, justissimus, temperatissimus, fortissimus aliquis. Quorum primus magicam Zoroastri, Oromazi filii, docet: est autem illa, deorum cultus: atque idem tradit instituta regia. Secundus admonet, ut in omni vita sit verax. Tertius, ne ulla cupiditate superetur, ut liber vivere consuescat, ac revera Rex, imperans iis ante omnia, quæ in ipso sunt, nec ulli serviens. Quartus denique impavidum illum & intrepidum reddit, ne quando quippiam metuens servus fiat. Tibi autem, O Alcibiades, Pericles adjunxit pædagogum, Zopyrum Thracem, omnium servorum suorum præ senio inutilissimum. Narrare tibi possem præterea reliquam educationem & disciplinam adversariorum tuorum, nisi longum esset, & simul hæc sufficerent ad cætera quæ hinc sequuntur ostendenda. Tuæ vero aliorumve Atheniensium generationis, educationis, & disci-

1 F. ἅτε δὴ, ὅταν &c. *Steph.*

εἰ μὴ εἴ τις ἐραστής σου τυγχάνει ὤν. εἰ δ' αὖ ἐθέλεις εἰς πλούτους ἀποβλέψαι, καὶ τρυφάς, καὶ ἐσθῆτας, ἱματίων θ' ἕλξεις, καὶ μύρων ἀλοιφάς, καὶ θεραπόντων πλήθους ἀκολουθίας, τήν τε ἄλλην ἁβρότητα τὴν Περσῶν, αἰσχυνθείης ἂν ἐπὶ σαυτῷ, αἰσθόμενος ὅσον αὐτῶν ἐλλείπεις. εἰ δ' αὖ ἐθελήσεις εἰς σωφροσύνην τε καὶ κοσμιότητα ἀποβλέψαι, καὶ εὐχέρειαν, καὶ εὐκολίαν, καὶ μεγαλοφροσύνην, καὶ εὐταξίαν, καὶ ἀνδρίαν, καὶ καρτερίαν, καὶ φιλοπονίαν, καὶ φιλονεικίαν, καὶ φιλοτιμίας τὰς Λακεδαιμονίων, παῖδα ἂν ἡγήσαιο σαυτὸν πᾶσι τοῖς τοιούτοις.

ιθ' Εἰ δ' αὖ τι καὶ πλούτῳ προσέχεις, καὶ κατὰ τοῦτο οἴει τι εἶναι, μηδὲ τοῦτο ἡμῖν ἄρρητον ἔστω, ἐάν πως αἴσθῃ οὗ εἶ. τοῦτο μὲν γάρ, εἰ θέλεις τοὺς Λακεδαιμονίων πλούτους ἰδεῖν, γνώσῃ, ὅτι πολὺ τἀνθάδε τῶν ἐκεῖ ἐλλείπει. γῆν μὲν γὰρ ὅσην ἔχουσι τῆς θ' ἑαυτῶν καὶ Μεσσήνης, οὐδ' ἂν

plinæ nulli, ut ita dicam, cura eſt, niſi forte alicui tuo amatori. Jam vero divitias, delicias, amictus, veſtiumque luxurioſum ornatum, unguentorum odores, miniſtrorum ſequentium turbam, reliquamque Perſarum mollitiem ſi conſiderare voles, pudebit te tui ubi intelliges quantum illis inferior ſis. Contra ſi conſiderare velis Lacedæmoniorum temperantiam, modeſtiam, facilitatem, manſuetudinem, magnanimitatem, moderationem, fortitudinem, conſtantiam, tolerantiam, æmulam ambitionem, & amorem gloriæ, puerum te iis omnibus in rebus judicabis.

18. Si quid rurſus opulentiæ tribuis, & hic aliquis eſſe putas, neque hoc a nobis ſilentio prætereatur. Modo ſentias ubinam ſis, & Lacedæmoniorum divitias intuearis, cognoſces profecto nos ab illis longe admodum ſuperari. Quicquid enim, aut ſui agri, aut Meſſanienſis poſſident, nemo noſtrum

εἷς ἀμφισβητήσειε τῷ τῆδε πλήθει, οὐδὲ ἀρετῇ, οὐδ' αὖ ἀνδραπόδων κτήσει τῶν τε ἄλλων καὶ τῶν εἱλωτικῶν, οὐδὲ μὴν ἵππων γε, οὐδ' ὅσ' ἄλλα βοσκήματα κατὰ Μεσσήνην νέμεται. ἀλλὰ ταῦτα μὲν πάντα ἐῶ χαίρειν. χρυσίον δὲ καὶ ἀργύριον, οὐκ ἔστιν ἐν πᾶσιν Ἕλλησιν ὅσον ἐν Λακεδαίμοσιν ἰδίᾳ. πολλὰς γὰρ ἤδη γενεὰς εἰσέρχεται μὲν αὐτὸς ἐξ ἁπάντων τῶν Ἑλλήνων, πολλάκις δὲ καὶ βαρβάρων, ἐξέρχεται δὲ οὐδαμόσε. ἀλλ' ἀτεχνῶς κατὰ τὸν Αἰσώπου μῦθον, ὃν ἡ ἀλώπηξ πρὸς τὸν λέοντα εἶπε, καὶ τοῦ εἰς Λακεδαίμονα νομίσματος εἰσιόντος μὲν τὰ ἴχνη τὰ ἐκεῖσε τετραμμένα δῆλα, ἐξιόντος δὲ οὐδαμῇ ἄν τις ἴδοι. ὥστε εὖ χρὴ εἰδέναι ὅτι καὶ χρυσῷ καὶ ἀργύρῳ οἱ ἐκεῖ πλουσιώτατοί εἰσι τῶν Ἑλλήνων, καὶ αὐτῶν ἐκείνων ὁ βασιλεύς. ἔκ τε γὰρ τῶν τοιούτων μέγισται λήψεις καὶ πλεῖσταί εἰσι τοῖς βασιλεῦσιν. ἔτι δὲ καὶ ὁ βασιλικὸς φόρος οὐκ ὀλίγος γίγνεται, ὃν τελοῦσιν οἱ Λακεδαιμόνιοι τοῖς

dubitabit, quin amplitudine & ubertate, ac ſervorum tam aliorum, quam Helotarum, frequentia, & equorum præterea, aliorumque pecorum, quæ fert Meſſania, copia *noſtros ſuperet.* Cæterum hæc omnia in præſens omitto. Auri vero & argenti apud Lacedæmonas copia tanta, quantam ne univerſa quidem reliqua Græcia poſſidet. Multa enim jam ſæcula infertur quidem illuc ex univerſa Græcia, ſæpe etiam ex Barbaria, effertur autem nuſquam. Sed revera juxta Æſopi fabulam, ut vulpes leoni dixit, ſic & nummi veſtigia, Lacedæmonem ingredientis, illuc quidem converſa conſpicua ſunt, egredientis vero nuſquam aliquis viderit. Unde cognoſcere licet Lacedæmonios auri atque argenti Græcorum omnium eſſe ditiſſimos; & ipſorum ditiſſimum eſſe Regem. Ex iis enim maxima pars ad illum pervenit. Tributum præterea Regium non contemnendum, quod Lacedæmonii Regibus

K

βασιλεῦσι. καὶ τὰ μὲν Λακεδαιμονίων, ὡς πρὸς Ἑλληνικοὺς μὲν πλούτους, μεγάλα· ὡς δὲ πρὸς τοὺς Περσικοὺς, καὶ τοῦ ἐκείνων βασιλέως, οὐδέν. ἐπεί ποτ' ἐγὼ ἤκουσα ἀνδρὸς ἀξιοπίστου τῶν ἀναβεβηκότων παρὰ βασιλέα, ὃς ἔφη παρελθεῖν χώραν πάνυ πολλὴν καὶ ἀγαθὴν ἐγγὺς ἡμερησίαν ὁδὸν, ἣν καλεῖν τοὺς ἐπιχωρίους Ζώνην τῆς βασιλέως γυναικὸς, εἶναι δὲ καὶ ἄλλην, ἣν αὖ καλεῖσθαι Καλύπτραν. καὶ ἄλλους πολλοὺς τόπους καλοὺς καὶ ἀγαθοὺς εἰς τὸν κόσμον ἐξηρημένους τὸν τῆς γυναικὸς, καὶ ὀνόματα ἔχειν ἑκάστους τῶν τόπων ἀπὸ ἑκάστου τῶν κόσμων. ὥστε οἶμαι ἐγὼ, εἴ τις εἴποι τῇ βασιλέως μητρὶ, Ξέρξου δὲ γυναικὶ, Ἀμάστριδι, ὅτι ἐν νῷ ἔχει σοῦ τῷ υἱεῖ ἀντιτάττεσθαι ὁ Δεινομάχης υἱὸς, ᾗ ἐστι κόσμος ἴσως ἄξιος μνῶν πεντήκοντα, εἰ πάνυ πολλοῦ, τῷ δὲ υἱεῖ αὐτῆς γῆς πλέθρα Ἐρχιάσιν οὐδὲ τριακόσια, θαυμάσαι ἂν ὅτῳ ποτὲ πιστεύων ἐν νῷ ἔχει οὗτος ὁ Ἀλκιβιάδης τῷ Ἀρταξέρξῃ διαγωνίζεσθαι. καὶ οἶμαι ἂν

perſolvunt. Et Res quidem Lacedæmoniorum, quoad reliquos Græcos, amplæ: quoad vero Perſas Perſarumque Reges, auguſtæ. Audivi quippe ex quodam viro fide digno, uno eorum qui ad Perſarum Regem profecti erant, ſe, per integrum pene diem, latam ac fertilem peragraſſe provinciam, quam incolæ uxoris regiæ Zonam appellarent: eſſe quoque aliam, nomine quam vocarent Calyptram; et multas alias regiones pulchras ac fertiles ad ornatum Reginæ ſolius pertinere, nominaque ſingulis locis a ſingulis ornamentis impoſita eſſe. Quamobrem, opinor, ſi quis Amaſtridi, Xerxis quidem uxori, regis autem matri, dicat, pugnare filium Dinomachæ in animo habere cum ipſius filio, cujus ornatus ad ſummum quinquaginta fortaſſe eſt minarum, filio autem ejus agri jugera in Erchiadibus minus quam trecenta, eam admiraturam qua re fretus hic Alcibiades audeat cum Artaxerxe pug-

αὐτὴν εἰπεῖν, ὅτι οὐκ ἔσθ' ὅτῳ ἄλλῳ πιστεύων οὗτος ὁ ἀνὴρ ἐπιχειρεῖ, πλὴν ἐπιμελείᾳ τε καὶ σοφίᾳ. ταῦτα γὰρ μόνα ἄξια λόγου ἐν Ἕλλησιν. ἐπεὶ εἴ γε πύθοιτο ὡς Ἀλκιβιάδης οὗτος πρῶτον μὲν ἔτη οὔπω γεγονὼς σφόδρα εἴκοσιν, ἔπειτα παντάπασιν ἀπαίδευτος, πρὸς δὲ τούτοις τοῦ ἐραστοῦ αὐτῷ λέγοντος ὅτι χρὴ πρῶτον μαθόντα, καὶ ἐπιμεληθέντα αὐτοῦ καὶ ἀσκήσαντα, οὕτως ἰέναι διαγωνιούμενον βασιλεῖ, οὐκ ἐθέλει, ἀλλά φησιν ἐξαρκεῖν καὶ ὡς ἔχει, οἶμαι ἂν θαυμάσαι τε καὶ ἐρέσθαι, τί οὖν ποτέ ἐστιν ὅτῳ πιστεύει τὸ μειράκιον; εἰ οὖν λέγοιμεν, ὅτι κάλλει τε καὶ μεγέθει, καὶ γένει καὶ πλούτῳ, καὶ φύσει τῆς ψυχῆς, ἡγήσαιτ' ἂν ἡμᾶς, ὦ Ἀλκιβιάδη, μαίνεσθαι, πρὸς τὰ παρὰ σφίσιν ἀποβλέψασα πάντα τοιαῦτα. οἶμαι δὲ κἂν Λαμπιδὼ τὴν Λεωτυχίδου μὲν θυγατέρα, Ἀρχιδάμου δὲ γυναῖκα, Ἄγιδος δὲ μητέρα, οἳ πάντες βασιλεῖς γεγόνασι, θαυμάσαι ἂν καὶ ταυ-

nare. Reorque illam arbitraturam hunc virum nulla alia re, nisi diligentia sapientiaque, confisum id aggredi: hæc quippe sola apud Græcos æstmatione digna esse. Alioquin, si intelligat, hunc Alcibiadem certamen tantum inire, primo quidem nondum viginti annos prorsus natum, deinde omnino indoctum, ac insuper amatori suo, monenti ut prius discat curamque adhibeat, seseque exerceat, quam tantum regem invadat, non obsequentem, at dicentem satis commode rem uti nunc est se habere, arbitror illam admiratione concitam interrogaturam, quidnam sit quo adolescens iste confidat? Cui si responderemus, pulchritudine, proceritate, nobilitate, divitiis, animo, nos, O Alcibiades, insanire putaret, hæc apud suos omnia potentiora sciens. Eodemque modo arbitror Lampidonem, Leotychidæ filiam, Archidami vero uxorem, Agidis autem matrem, qui omnes reges extitere, miraturam,

τὴν εἰς τὰ παρὰ σφίσιν ὑπάρχοντα ἀποβλέψασαν, εἰ σὺ ἐν νῷ ἔχεις τῷ υἱεῖ αὐτῆς διαγωνίζεσθαι οὕτω κακῶς ἠγμένος. καί τοι οὐκ αἰσχρὸν δοκεῖ εἶναι, εἰ αἱ τῶν πολεμίων γυναῖκες βέλτιον διανοοῦνται περὶ ἡμῶν, οἵους χρὴ ὄντας σφίσιν ἐπιχειρεῖν, ἢ ἡμεῖς περὶ ἡμῶν αὐτῶν; ἀλλ᾽, ὦ μακάριε, πειθόμενος ἐμοί τε καὶ τῷ ἐν Δελφοῖς γράμματι, Γνῶθι σαυτόν, ὅτι οὗτοι ἡμῖν εἰσιν ἀντίπαλοι, ἀλλ᾽ οὐχ οὓς σὺ οἴει. ὧν ἄλλῳ μὲν οὐδ᾽ ἂν ἑνὶ περιγενοίμεθα, εἰ μὴ ἐπιμελείᾳ τε ἂν καὶ τέχνῃ· ὧν σὺ εἰ ἀπολειφθήσῃ, καὶ τοῦ ὀνομαστὸς γενέσθαι ἀπολειφθήσῃ, ἐν Ἕλλησί τε καὶ βαρβάροις, οὗ μοι δοκεῖς ἐρᾶν, ὡς οὐδεὶς ἄλλος ἄλλου.

κ′. ΑΛΚ. Τίνα οὖν χρὴ τὴν ἐπιμέλειαν, ὦ Σώκρατες, ποιεῖσθαι, ἔχεις ἐξηγήσασθαι; παντὸς γὰρ μᾶλλον ἔοικας ἀληθῆ εἰρηκότι. ΣΩΚ. Ναί. ἀλλὰ γὰρ κοινὴ βουλή, ᾧτινι τρόπῳ ἂν ὅτι βέλτιστοι γενοίμεθα. ἐγὼ γάρ τοι οὐ περὶ μὲν σοῦ λέγω, ὡς χρὴ παιδευθῆναι, περὶ

cum res ſuas reſpiciat, te tam male inſtructum cum filio ſuo in animo habere bellum movere. Atqui nonne turpe videtur, ſi hoſtium mulieres rectius judicent, quam noſmet ipſi, de iis dotibus quibus inſtructi contra illos accingi debeamus? Cæterum, O beate, mihi & illi, quod in Delphis eſt, effato obtemperans, Noſce teipſum: quoniam ii ſunt adverſarii noſtri, non quos ipſe reris, quos quidem nulla re aliâ, niſi induſtria, & arte, ſuperare licet. Quibus profecto ſi inferior fueris, gloria quoque apud Græcos & Barbaros tibi deerit; quam ſic ardenter videris appetere, ut nemo unquam aliquid ardentius concupiverit.

20. ALC. Quam igitur curam adhibendam cenſes, O Socrates? An potes oſtendere? Mihi enim, ſupra quam dici poſſit, vera dixiſſe videris. SOC. Poſſum quidem, verum communi conſilio opus eſt, qua ratione quam optimi efficiamur. Ego enim non te tantum, ve-

ἐμοῦ δὲ οὔ. οὐ γὰρ ἔσθ' ὅτῳ σοῦ διαφέρω, πλήν γε ἑνί. ΑΛΚ. Τίνι; ΣΩΚ. Ὁ ἐπίτροπος ὁ ἐμὸς βελτίων ἐστὶ καὶ σοφώτερος, ἢ Περικλῆς ὁ σός. ΑΛΚ. Τίς οὗτος, ὦ Σώκρατες; ΣΩΚ. Θεὸς, ὦ Ἀλκιβιάδη, ὅσπερ σοί με οὐκ εἴα πρὸ τῆσδε τῆς ἡμέρας διαλεχθῆναι· ᾧ καὶ πιστεύων λέγω, ὅτι ἡ ἐπιφάνεια δι' οὐδενὸς ἄλλου σοι ἔσται, ἢ δι' ἐμοῦ. ΑΛΚ. Παίζεις, ὦ Σώκρατες. ΣΩΚ. Ἴσως. λέγω μέντοι ἀληθῆ, ὅτι ἐπιμελείας δεόμεθα· μᾶλλον μὲν πάντες ἄνθρωποι, ἀτὰρ νώ γε καὶ μάλα σφόδρα. ΑΛΚ. Ὅτι μὲν ἐγὼ δέομαι, οὐ ψεύδῃ. ΣΩΚ. Οὐδὲ μὴν, ὅτι γε ἐγώ. ΑΛΚ. Τί οὖν ἂν ποιοῖμεν; ΣΩΚ. Οὐκ ἀποκνητέον, οὐδὲ μαλθακιστέον, ὦ ἑταῖρε. ΑΛΚ. Οὔτοι δὴ πρέπει γε, ὦ Σώκρατες. ΣΩΚ. Οὐ γὰρ, ἀλλὰ σκεπτέον κοινῇ· καί μοι λέγε· φαμὲν γὰρ ὡς ἄριστοι βούλεσθαι γενέσθαι· ἦ γάρ; ΑΛΚ. Ναί. ΣΩΣ. Τίνα ἀρετήν; ΑΛΚ. Δηλονότι, ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί.

rum etiam me ipſum, diſciplinâ indigere dico. Nam unum ſolum eſt quo a te differo. ALC. Quidnam? SOC. Curator meus melior eſt & ſapientior, quam tuus Pericles. ALC. Quis hic, O Socrates? SOC. Deus, O Alcibiades, qui me vetuit ante hunc diem tecum diſſerere, cui credens aſſero te per nullum alium, quam per me, claritatem conſecuturum. ALC. Jocaris, O Socrates. SOC. Forſitan; vera tamen loquor, quod uterque curatione indigemus; imo homines univerſi, cæterum nos quamplurimum. ALC. Quod quidem ego indigeam, haudquaquam falleris. SOC. Neque etiam quod ego ipſe. ALC. Quid igitur agendum? SOC. Nec hæſitandum, neque etiam mollitiæ indulgendum eſt, O amice. ALC. Non decet, O Socrates. SOC. Non certe, ſed communi conſilio opus eſt. Verum dic mihi; fatemur enim velle nos quam optimos fieri. ALC. Certe. SOC. In qua facultate? ALC. Qua videlicet viri boni. SOC. Quanam in

ΣΩΚ. Οἱ τί ἀγαθοί; ΑΛΚ. Δηλονότι, οἱ δυνατοὶ πράττειν τὰ πράγματα. ΣΩΚ. Οποῖα ἄρα; τὰ ἱππικά; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Παρὰ τοὺς ἱππικοὺς γὰρ ἂν ἦμεν. ΑΛΚ. Ναί. ΣΩΚ. Αλλὰ τὰ ναυτικὰ λέγεις; ΑΛΚ. Οὔ. ΣΩΚ. Παρὰ τοὺς ναυτικοὺς γὰρ ἂν ἦμεν. ΑΛΚ. Ναί. ΣΩΚ. Αλλὰ ποῖα; ἃ τίνες πράττουσιν; ΑΛΚ. Απερ Αθηναίων οἱ καλοὶ κἀγαθοί. ΣΩΚ. Καλοὺς κἀγαθοὺς λέγεις τοὺς φρονίμους, ἢ τοὺς ἄφρονας; ΑΛΚ. Τοὺς φρονίμους. ΣΩΚ. Οὐκοῦν ὃ ἕκαστος φρόνιμος, τοῦτο ἀγαθός; ΑΛΚ; Ναί. ΣΩΚ. Ο δὲ ἄφρων, πονηρός; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Αρ' οὖν ὁ σκυτοτόμος φρόνιμος εἰς ὑποδημάτων ἐργασίαν; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Αγαθὸς ἄρα εἰς ταῦτα. ΑΛΚ. Αγαθός. ΣΩΚ. Τί δέ; εἰς ἱματίων ἐργασίαν οὐκ ἄφρων ὁ σκυτοτόμος; ΑΛΚ. Ναί. ΣΩΚ. Κακὸς ἄρα εἰς τοῦτο. ΑΛΚ. Ναί. ΣΩΚ. Ο αὐτὸς ἄρα τούτῳ γε τῷ λόγῳ κακός τε καὶ ἀγαθός. ΑΚΛ. Φαίνεται.

re boni? ALC. In rebus agendis. SOC. In quibus? num in re equeſtri? ALC. Non. SOC. Ad equites enim iremus. ALC. Profecto. SOC. Nunquid in navis gubernatione dicis? ALC. Nequaquam. SOC. Ad nautas enim iremus? ALC. Iremus. SOC. In quo ergo negotio, & quorum hominum officio? ALC. In iis quæ clari bonique Athenienſium viri agunt. SOC. Claros ac bonos, ſapientes an inſipientes appellas? ALC. Sapientes. SOC. In quo unuſquiſque ſapiens, in eodem bonus? ALC. Certe. SOC. Inſipiens autem malus? ALC. Quidni? SOC. Num itaque ſutor ſapiens in calceorum artificio? ALC. Prorſus. SOC. Bonus ergo ad hæc? ALC. Bonus. SOC. Quid vero, in veſtibus conficiendis nonne ſutor hic inſipiens? ALC. Ita. SOC. Malus ergo ad hæc? ALC. Ita. SOC. Idem itaque ſecundum hanc rationem etiam bonus atque malus erit. ALC. Videtur.

κά. ΣΩΚ. Ἢ οἷον λέγεις τοὺς ἀγαθοὺς ἄνδρας εἶναι καὶ κακούς; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἀλλὰ τίνας ποτὲ τοὺς ἀγαθοὺς λέγεις; ΑΛΚ. Τοὺς δυναμένους ἔγωγε ἄρχειν ἐν τῇ πόλει. ΣΩΚ. Οὐ δή που ἵππων γε. ΑΛΚ Οὐ δῆτα. ΣΩΚ. Ἀλλ᾽ ἀνθρώπων; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρα καμνόντων; ΑΛΚ. Οὔ. ΣΩΚ. Ἀλλὰ πλεόντων; ΑΛΚ. Οὔ φημι. ΣΩΚ. Ἀλλὰ θεριζόντων; ΑΛΚ. Οὔ. ΣΩΚ. Ἀλλ᾽ οὐδὲν ποιούντων, ἢ τί ποιούντων; ΑΛΚ. Ποιούντων λέγω. ΣΩΚ. Τί; πειρῶ καὶ ἐμοὶ δηλῶσαι. ΑΛΚ. Οὐκοῦν τῶν καὶ συμβαλλόντων ἑαυτοῖς, καὶ χρωμένων ἀλλήλοις, ὥσπερ ἡμεῖς ζῶμεν ἐν ταῖς πόλεσιν. ΣΩΚ. Οὐκοῦν ἀνθρώπων λέγεις ἄρχειν, ἀνθρώποις χρωμένων; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρα κελευστῶν, χρωμένων ἐρέταις; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Κυβερνητικῆς γὰρ αὕτη γε ἀρετή. ΑΛΚ. Ναί. ΣΩΚ. Ἀλλ᾽ ἀνθρώπων λέγεις ἄρχειν αὐλητῶν, ἀνθρώποις ἡγουμένων ᾠδῆς, καὶ

21. SOC. An dicis viros bonos malos etiam esse? ALC. Nequaquam. SOC. Quos tandem bonos vocas? ALC. Eos qui in civitate præesse possunt. SOC. Non tamen equis? ALC. Non certe. SOC. At hominibus? ALC. Hominibus. SOC. Num hominibus ægrotantibus? ALC. Non dico. SOS. Metentibusne? ALC. Neque his. SOC. Aliquidne, vel nihil, facientibus? ALC. Facientibus aliquid. SOC. Quid tandem facientibus? id mihi declara. ALC. Commercia inquam agitantibus, atque mutua opera utentibus quemadmodum nos in civitatibus vivere solemus. SOC. Nunquid imperare eos dicis hominibus *ejusmodi*, qui hominibus utuntur? ALC. Dico. SOC. An gubernatoribus qui remigibus utuntur? ALC. Non. SOC. Hæc enim gubernatoriæ facultatis virtus est. ALC. Est. SOC. Fortasse imperare dicis tibicinibus, qui canentibus præsunt, & saltato-

χρωμένων χορευταῖς; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Χοροδιδασκαλικὴ γὰρ αὕτη γ' αὖ. ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ἀλλὰ τί ποτε λέγεις χρωμένων ἀνθρώπων ἀνθρώποις οἷόν τ' εἶναι ἄρχειν; ΑΛΚ. Κοινωνούντων ἔγωγε λέγω πολιτείας, καὶ συμβαλλόντων πρὸς ἀλλήλους, τούτων ἄρχειν τῶν ἐν τῇ πόλει. ΣΩΚ. Τίς οὖν αὕτη ἡ τέχνη; ὥσπερ ἂν εἰ σε ἐροίμην πάλιν τανῦν δή, κοινωνούντων ναυτιλίας ἐπίστασθαι ἄρχειν, τίς ποιεῖ τέχνη; ΑΛΚ. Κυβερνητική. ΣΩΚ. Κοινωνούντων δὲ ᾠδῆς, ὡς νῦν δὴ ἐλέγετο, τίς ἐπιστήμη ποιεῖ ἄρχειν; ΑΛΚ. Ἥνπερ σὺ ἄρτι ἔλεγες, ἡ χοροδιδασκαλία. ΣΩΚ. Τί δὲ πολιτείας κοινωνούντων, τίνα καλεῖς ἐπιστήμην; ΑΛΚ. Εὐβουλίαν ἔγωγε, ὦ Σώκρατες. ΣΩΚ. Τί δέ; μῶν ἀβουλία δοκεῖ εἶναι ἡ τῶν κυβερνητῶν; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἀλλ' εὐβουλία; ΑΛΚ. Ἔμοιγε δοκεῖ. ΣΩΚ. Εἴς γε τὸ σώζεσθαι πλέ-

ribus utuntur. ALC. Neque his. SOC. Hoc namque ad artem chori instruendi magistram pertinet. ALC. Omnino. SOC. Quid denique vocas imperare posse hominibus, qui utuntur hominibus? ALC. Nimirum hominibus communicantibus secum invicem Rempublicam & commercia, id est civibus hisce, imperare. SOC. Quænam hæc ars est? quemadmodum si te iterum rogem, quænam facultas efficit, ut præesse iis, qui navigando communicant, sciamus? ALC. Gubernatoria. SOC. Communicantibus autem in cantu, ut paulo ante dicebatur, quæ scientia præesse docet? ALC. Quam tu nuper aiebas, chori instruendi disciplina. SOC. Rempublicam vero communicantibus præesse docentem, quam scientiam vocas? ALC. Scientiam bene consulendi, O Socrates. SOC. Num tibi videtur gubernatorum ars carere consilio? ALC. Minime. SOC. Estne ipsa quoque in bene consulendo posita? ALC. Mihi sane videtur. SOC. Ad na-

όντας. ΑΛΚ. Καλῶς λέγεις. ΣΩΚ. Τί δέ; ἣν σὺ καλεῖς εὐβουλίαν, εἰς τί ἐστιν; ΑΛΚ. Εἰς τὸ ἄμεινον τὴν πόλιν διοικεῖν, καὶ σώζεσθαι. ΣΩΚ. Αμεινον δὲ διοικεῖται καὶ σώζεται, τίνος παραγιγνομένου ἢ ἀπογιγνομένου; ὥσπερ εἰ σύ με ἔροιο, ἄμεινον διοικεῖται σῶμα καὶ σώζεται, τίνος παραγιγνομένου ἢ ἀπογιγνομένου; εἴποιμ' ἄν, ὅτι ὑγείας μὲν παραγιγνομένης, νόσου δὲ ἀπογιγνομένης. οὐ καὶ σὺ οἴει οὕτω; ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ εἴ με αὖ ἔροιο, τίνος δὲ αὖ ἄμεινον ὄμματα; ὡσαύτως εἴποιμ' ἄν, ὅτι ὄψεως μὲν παραγιγνομένης, τυφλότητος δὲ ἀπογιγνομένης. καὶ ὦτα δὲ, κωφότητος μὲν ἀπογιγνομένης, ἀκοῆς δὲ ἐγγιγνομένης, βελτίω τε γίγνεται, καὶ ἄμεινον θεραπεύεται. ΑΛΚ. Ορθῶς. ΣΩΚ. Τί δὲ δή; πόλις τίνος παραγιγνομένου καὶ ἀπογιγνομένου, βελτίων τε γίγνεται, καὶ ἄμεινον θεραπεύεται καὶ διοικεῖται; ΑΛΚ. Εμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, ὅταν φιλία μὲν αὐτοῖς γίγνηται πρὸς ἀλλήλους, τὸ δὲ μισεῖν τε καὶ στασιάζειν ἀπογίγνηται. ΣΩΚ. Αρ' οὖν φιλίαν λέ-

vigantium ſalutem. ALC. Recte loqueris. SOC. Id vero quod bonum conſilium vocas, quo ſpectat? ALC. Ad meliorem civitatis inſtitutionem ſalutemque. SOC. Quanam re præſente vel abſente melius diſponitur atque ſervatur? Quemadmodum ſi ipſe me roges, quo præſente aut abſente bene ſe habent corpora: reſponderem utique ſanitate præſente, morbo vero abſente. Idem & tu exiſtimas? ALC. Idem. SOC. Quod ſi item quæras unde oculis bonus habitus, eadem ratione reſponderem, nempe viſu præſente, & cæcitate remota. Et aures optime curari fugata ſurditate, & præſente auditu. ALC. Recte. SOC. Civitas autem quo remoto, quove adhibito, melior fit, ac melius curatur & inſtituitur? ALC. Ut mihi videtur O Socrates, quando amicitia ſit inter cives; odia vero & ſeditiones abſint. SOC. Amicitiam vocas conſenſionem, an diſſenſionem?

γεις ὁμονοίαν, ἢ διχόνοιαν; ΑΛΚ. Ὁμόνοιαν. ΣΩΚ. Διὰ τίνα οὖν τέχνην ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀριθμούς; ΑΛΚ. Διὰ τὴν Ἀριθμητικήν. ΣΩΚ. Τί δέ; οἱ ἰδιῶται οὐ διὰ τῆς αὐτῆς; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκ οὖν καὶ αὐτὸς αὐτῷ ἕκαστος; ΑΛΚ. Ναί. ΣΩΚ. Δία τίνα δὲ τέχνην αὐτὸς αὐτῷ ἕκαστος ὁμονοεῖ περὶ σπιθαμῆς καὶ πήχεως ὁπότερον μεῖζον; οὐ διὰ τὴν μετρητικήν; ΑΛΚ. Τί μήν; ΣΩΚ. Οὐκοῦν καὶ οἱ ἰδιῶται ἀλλήλοις καὶ αἱ πόλεις; ΑΛΚ. Ναί. ΣΩΚ. Τί δὲ περὶ σταθμοῦ, οὐχ ὡσαύτως; ΑΛΚ. Φημί. ΣΩΚ. Ἣν δὲ δὴ σὺ λέγεις ὁμόνοιαν, τίς ἐστι, καὶ περὶ τοῦ; καὶ τίς αὐτὴν τέχνη παρασκευάζει; καὶ ἆρα, ἥπερ πόλει, αὐτὴ καὶ ἰδιώτῃ, αὐτῷ τε πρὸς αὑτὸν καὶ πρὸς ἄλλον; ΑΛΚ. Εἰκός γέ τοι. ΣΩΚ. Τίς οὖν ἐστι; μὴ κάμῃς ἀποκρινόμενος, ἀλλὰ προθυμοῦ εἰπεῖν. ΑΛΚ. Ἐγὼ μὲν οἶμαι φιλίαν τε λέγειν καὶ ὁμόνοιαν, ἥνπερ πατήρ τε υἱὸν φιλῶν ὁμονοεῖ καὶ μήτηρ, καὶ ἀδελφὸς ἀδελφῷ, καὶ γυνὴ ἀνδρί.

ALC. Consensionem. SOC. Per quam artem civitates circa numeros consentiunt? ALC. Per Arithmeticam? SOC. Privati vero, annon propter eandem? ALC. Nempe. SOC. Et unusquisque secum ipse? ALC. Certe. SOC. Per quam artem quisque secum ipse consentit de palmo & cubito uter major sit? nonne per metiendi peritiam? ALC. Quidni? SOC. Nonne scilicet privatim & publice? ALC. Imo. SOC. Et de ponderibus eodem pacto? ALC. Assentior. SOC. Consensus igitur quem dicis, quisnam est? circa quid? quæ ars eum præstat? Num etiam consensus talis est, ut insit & reipublicæ & privato unicuique tum erga seipsum tum erga alios? ALC. Consentaneum. SOC. Quisnam igitur est? ne pigeat respondere, sed prompte dicas. ALC. Reor equidem esse eam amicitiam, & consensionem, per quam pater ac mater filium, & frater fratrem, & uxor virum, amantes consentiunt.

κβ΄. ΣΩΚ. Οἴει ἂν οὖν, ὦ Ἀλκιβιάδη, ἄνδρα γυναικὶ περὶ ταλασιουργίας δύνασθαι ὁμονοεῖν, τὸν μὴ ἐπιστάμενον, τῇ ἐπισταμένῃ; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐδέ γε δεῖ οὐδέν· γυναικεῖον γὰρ τοῦτο μάθημα. ΑΛΚ. Ναί. ΣΩΚ. Τί δέ; γυνὴ ἀνδρὶ περὶ ὁπλιτικῆς δύναιτ' ἂν ὁμονοεῖν, μὴ μαθοῦσα; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἀνδρεῖον γὰρ τοῦτό γε ἴσως φαίης ἂν εἶναι. ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Ἔστιν ἄρα τὰ μέν, γυναικεῖα, τὰ δέ, ἀνδρεῖα μαθήματα, κατὰ τὸν σὸν λόγον. ΑΛΚ Πῶς δ' οὔ; ΣΩΚ. Οὐκ ἄρα ἔν γε τούτοις ἐστὶν ὁμόνοια γυναιξὶ πρὸς ἄνδρας. ΑΛΚ. Οὔ. ΣΩΚ. Οὐδ' ἄρα φιλία· εἴπερ ἡ φιλία ὁμόνοια ἦν. ΑΛΚ. Οὐ φαίνεται. ΣΩΚ. Ἧ, ἄρα αἱ γυναῖκες τὰ αὑτῶν πράττουσιν, οὐ φιλοῦνται ὑπὸ τῶν ἀνδρῶν. ΑΛΚ. Οὐκ ἔοικεν. ΣΩΚ. Οὐδ' ἄρα οἱ ἄνδρες ὑπὸ τῶν γυναικῶν, ᾗ τὰ αὑτῶν. ΑΛΚ. Οὔ. ΣΩΚ. Οὐδ' αὖ ἄρα

22. SOC. Putasne, O Alcibiades, viro cum uxore de lanificio convenire, imperito cum perita? ALC. Nequaquam. SOC. Neque oportet quidem: muliebris enim hæc disciplina eſt. ALC. Profecto. SOC. Quid vero? mulieri cum viro de armis inſtruendis conveniet, cum id haudquaquam didicerit? ALC. Minime. SOC. Virile enim id opus eſſe forſan diceres. ALC. Equidem. SOC. Sunt ergo diſciplinæ quædam mulierum, quædam virorum, juxta ſententiam tuam. ALC. Quidni? SOC. Iis itaque mulieribus cum viris ſuis conſenſus eſt nullus. ALC. Nullus. SOC. Neque amicitia igitur: ſi quidem amicitia conſenſio quædam eſt. ALC. Non videtur. SOC. Ideoque quatenus mulieres officia ſua exercent, non amantur a viris. ALC. Non apparet. SOC. Neque viri etiam a mulieribus, dum virilia tractant. ALC. Non. SOC. Non ergo tunc

ταύτῃ οἰκοῦνται αἱ πόλεις, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν. ΑΛΚ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες. ΣΩΚ. Πῶς λέγεις, φιλίας μὴ παρούσης, ἧς ἔφαμεν ἐγγιγνομένης εὖ οἰκεῖσθαι τὰς πόλεις, ἄλλως δὲ οὔ; ΑΛΚ. Ἀλλά μοι δοκεῖ καὶ κατὰ τοῦτο αὐτοῖς φιλία ἐγγίγνεσθαι, ὅτι τὰ αὑτῶν ἑκάτεροι πράττουσιν. ΣΩΚ. Οὐκ ἄρτι γε. νῦν δὲ πῶς αὖ λέγεις, ὁμονοίας ἐγγιγνομένης φιλία ἐγγίγνεται; ἢ οἷόν τε ὁμόνοιαν ἐγγίγνεσθαι περὶ τούτων, ὧν οἱ μὲν ἴσασιν, οἱ δ' οὔ; ΑΛΚ. Ἀδύνατον. ΣΩΚ. Δίκαια δὲ πράττουσιν ἢ ἄδικα, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσι; ΑΛΚ. Δίκαια· πῶς γὰρ οὔ; ΣΩΚ. Τὰ δίκαια οὖν πραττόντων ἐν τῇ πόλει τῶν πολιτῶν, φιλία οὐκ ἐγγίγνεται πρὸς ἀλλήλους; ΑΛΚ. Ἀνάγκη αὖ μοι δοκεῖ εἶναι, ὦ Σώκρατες. ΣΩΚ. Τίνα οὖν ποτε λέγεις τὴν φιλίαν ἢ ὁμόνοιαν, περὶ ἧς δεῖ ἡμᾶς σοφούς τε εἶναι καὶ εὐβούλους,

optime civitates instituuntur, cum singuli operibus suis incumbunt. ALC. Ego tamen id, O Socrates, arbitror. SOC. Quomodo hoc ais, amicitia sublata? qua præsente confessi sumus bene constitui civitates, aliter vero contra. ALC. Atqui mihi videtur ob hoc inter homines consistere amicitiam, quod quisque suum officium exequatur. SOC. Atqui nuper aliter visum est: nunc autem quo pacto rursus ais consensione adhibita amicitiam fieri? an potest circa hæc consensus existere, quorum hi quidem periti, illi vero imperiti sunt? ALC. Fieri non potest. SOC. Justane, an injusta faciunt, cum singuli quæ ad se attinent exequuntur? ALC. Justa profecto. SOC. Juste igitur agentibus civibus in civitate non est inter se invicem amicitia. ALC. Necessarium hoc itidem videtur, O Socrates. SOC. Quam itaque dicis amicitiam sive consensionem, circa quam nos sapientes &

ἵνα ἀγαθοὶ ἄνδρες ὦμεν; οὐ γὰρ δύναμαι μαθεῖν οὐδ' ἥτις, οὔτ' ἐν οἷστισιν. ποτὲ μὲν γὰρ ἐν τοῖς αὐτοῖς φαίνεται ἐνοῦσα, ποτὲ δ' οὔ, ὡς ἐκ τοῦ σοῦ λόγου. ΑΛΚ. Ἀλλὰ μὰ τοὺς θεοὺς, ὦ Σώκρατες, οὐδ' αὐτὸς οἶδα ὅ, τι λέγω. κινδυνεύω δὲ καὶ πάλαι λεληθέναι ἐμαυτὸν αἴσχιστα ἔχων. ΣΩΚ. Ἀλλὰ χρὴ θαῤῥεῖν. εἰ μὲν γὰρ αὐτὸ ᾔσθου πεπονθὼς πεντηκονταέτης, χαλεπὸν ἦν ἄν σοι ἐπιμεληθῆναι σαυτοῦ. νῦν δὲ ἣν ἔχεις ἡλικίαν, αὕτη ἐστὶν ἐν ᾗ δεῖ αὐτὸ αἰσθάνεσθαι. ΑΛΚ. Τί οὖν τὸν αἰσθανόμενον χρὴ ποιεῖν, ὦ Σώκρατες; ΣΩΚ. Ἀποκρίνεσθαι τὰ ἐρωτώμενα, ὦ Ἀλκιβιάδη· καὶ ἐὰν τοῦτο ποιῇς, ἂν θεὸς ἐθέλῃ, (εἴ τι δεῖ καὶ τῇ ἐμῇ μαντείᾳ πιστεύειν,) σύ τε κἀγὼ βέλτιον σχήσομεν. ΑΛΚ. Ἔσται ταῦτα, ἕνεκά γε τοῦ ἐμὲ ἀποκρίνεσθαι.

κγ'. ΣΩΚ. Φέρε δὴ, τί ἐστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι;

bonos conſultores eſſe oportet, ut boni viri ſimus? Neque enim percipere poſſum quænam ſit, aut quibus in rebus exiſtat: cum ex oratione tua interdum in eiſdem ineſſe, nonnunquam ab eiſdem abeſſe, videatur. ALC. Per Deos, O Socrates, ne ipſe quidem quid dicam intelligo: videorque jam diu me ipſum fefelliſſe, turpiſſime me habentem. SOC. Confidere decet. Nam ſi hoc demum animadvertiſſes annos quinquaginta natus, arduum ſane foret teipſum curare: nunc vero ea es ætate, in qua id advertere decet. ALC. Quid igitur hoc advertentem facere oportet? SOS. Reſponde ad ea quæ interrogabo te, Alcibiades. Quod ſi feceris, ac Deus voluerit, ſi qua modo fides meis eſt vaticiniis habenda, tu ſimul & ego melius nos habebimus. ALC. Ita erit, quod ad me reſpondentem attinet.

23. SOC. Age, quid eſt ſeipſum curare, (ne ſæpe nos

(μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι, οἰόμενοι δὲ) καὶ πότε ἄρα ποιεῖ αὐτὸ ἄνθρωπος; ἄρα, ὅταν τῶν αὑτοῦ ἐπιμελῆται, τότε καὶ ἑαυτοῦ; ΑΛΚ. Εμοὶ γοῦν δοκεῖ. ΣΩΚ. Τί δέ; ποδῶν ἄνθρωπος πότε ἐπιμελεῖται; ἆρα ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν; ΑΛΚ. Οὐ μανθάνω; ΣΩΚ. Καλεῖς δή τι χειρός; οἷον δακτύλιον, ἔστιν ὅτου ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης, ἢ δακτύλου; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον; ΑΛΚ. Ναί. ΣΩΚ. Αρ' οὖν, ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα; ΑΛΚ. Οὐ πάνυ μανθάνω, ὦ Σώκρατες. ΣΩΚ. Τί δὲ, ὦ Ἀλκιβιάδη; ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος; ΑΛΚ. Εγωγε. ΣΩΚ. Αρ' οὖν, ὅταν τις τι βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν; ΑΛΚ. Ναί. ΣΩΚ. Τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ; ΑΛΚ. Σκυτική. ΣΩΚ. Σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελού-

ipſos fallamus, non curantes noſmet ipſos, cum belle curare putemus) et quando id homo facit? nonne quoties ſuorum, toties & ſui, curam habet? ALC, Mihi quidem videtur. SOC. Quid? num pedes tunc quis curat, cum ea quæ pedum ſunt curat? ALC. Non intelligo. SOC. Dicisne eſſe aliquid ad manum pertinens? quemadmodum annulus, num alterius membri quam digiti annulus eſt? ALC. Minime. SOC. Et calceus pedis eodem modo? ALC, Ita. SOC, Cum itaque calceorum curam gerimus, num & pedum curam habemus? ALC. Haud multum intelligo, O Socrates. SOC. Quid vero, Alcibiades? vocaſne aliquid rectam alicujus curationem? ALC. Voco. SOC. Num itaque cum quid melius fit, tunc recte curatum dicis? ALC. Dico. SOC, Quænam ars calceos meliores efficit? ALC. Sutoria. SOC. Sutoria igitur arte calceorum

μεθα; ΑΛΚ. Ναί. ΣΩΚ. Η καὶ ποδὸς σκυτικὴ, ἢ ἐκείνη ᾗ πόδας βελτίους ποιοῦμεν; ΑΛΚ. Εκείνη. ΣΩΚ. Βελτίους δὲ πόδας οὐχ ἥπερ καὶ τὸ ἄλλο σῶμα; ΑΛΚ. Εμοί γε δοκεῖ. ΣΩΚ. Αὕτη δ' οὐ γυμναστική; ΑΛΚ. Μάλιστα. ΣΩΚ. Γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμελούμεθα, σκυτικῇ δὲ τῶν τοῦ ποδός. ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Καὶ γυμναστικῇ μὲν χειρῶν, δακτυλιογλυφίᾳ δὲ τῶν τῆς χειρός. ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ γυμναστικῇ μὲν, σώματος· ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις, τῶν τοῦ σώματος. ΑΛΚ. Παντάπασιν. ΣΩΚ. Αλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ δὲ τῶν αὐτοῦ. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Οὐκ ἄρα, ὅταν τῶν σαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελῇ. ΑΛΚ. Οὐδαμῶς. ΣΩΚ. Οὐ γὰρ ἡ αὐτὴ τέχνη ὡς ἔοικεν, [1] ἥτις ἂν αὐτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὐτοῦ. ΑΛΚ. Οὐ φαίνεται. ΣΩΚ. Φέρε δή,

curam habemus? ALC. Hac ipsa. SOC. Nunquid & pedes etiam sutoria? vel illa potius qua pedes reddimus meliores? ALC. Illa. SOC. Pedes autem meliores, nonne qua & reliquum corpus? ALC. Videtur. SOC. Hæc nonne gymnastica? ALC. Maxime. SOC. Ergo gymnastica pedes curamus; sutoria vero, illa quæ ad pedes pertinent. ALC. Prorsus. SOC. Et gymnastica quoque, manus; annularia vero, illa quæ pertinent ad manus. ALC. Sic est. Et gymnastica corpus, textoria autem & aliis artibus ea quæ corporis sunt. ALC. Omnino. SOC. Alia igitur arte rem unamquamque curamus; alia, ea quæ ad rem illam pertinent. ALC. Ita videtur. SOC. Non ergo cum sua quis, tunc etiam se, curat? ALC. Nullo pacto. SOC. Non enim eadem est ars, ut videtur, quæ nos, ac quæ nostra, curat. ALC. Non apparet. SOC. Age itaque, quanam

1 F. ἥ τις. *Vid. Not.*

ποίῳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθείημεν; ΑΛΚ. Οὐκ ἔχω λέγειν. ΣΩΚ. Ἀλλὰ τοσοῦτόν δέ γε ὡμολόγηται, ὅτι οὐχ ᾗ ἂν τῶν ἡμετέρων καὶ ὁτιοῦν βέλτιον ποιῶμεν, ἀλλὰ ᾗ ἡμᾶς αὐτούς. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Ἦ οὖν ἔγνωμεν ἄν ποτε, τίς τέχνη ὑπόδημα βέλτιον ποιῇ, μὴ εἰδότες ὑπόδημα; ΑΛΚ. Ἀδύνατον. ΣΩΚ. Οὐδέ γε τίς τέχνη δακτυλίους βελτίους ποιεῖ, ἀγνοοῦντες δακτύλιον. ΑΛΚ. Ἀληθῆ. ΣΩΚ. Τί δέ; τίς γε τέχνη βελτίω ποιεῖ αὐτὸν ἆρ' ἄν ποτε γνοῖμεν, ἀγνοοῦντες τί ποτ' ἐσμὲν αὐτοί; ΑΛΚ. Ἀδύνατον.

κδ'. ΣΩΚ. Πότερον οὖν ἂν ῥᾴδιον τυγχάνοι ὂν γνῶναι ἑαυτόν, καί τις ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν Πυθοῖ νεών, ἢ χαλεπόν τι καὶ οὐχὶ παντός; ΑΛΚ. Ἐμοὶ μέν, ὦ Σώκρατες, πολλάκις μὲν ἔδοξε, παντὸς εἶναι· πολλάκις δέ, παγχάλεπον. ΣΩΚ. Ἀλλ', ὦ Ἀλκιβιάδη,

arte nos ipſos curare poſſimus? ALC. Non habeo quid dicam. SOC. At hoc tamen inter nos convenit, quod non qua noſtrorum aliquid melius efficimus, ſed qua nos ipſos. ALC. Vera narras. SOC. Num itaque noſſe unquam licet, quænam ars meliorem faciat calceum, niſi calceum ipſum noverimus? ALC. Fieri nequit. SOC. Neque etiam quænam ars annulum efficit meliorem, ignorantes annulum. ALC. Verum. SOC. Porro, unquamne ſciamus qua arte meliores evadamus, quamdiu nos ipſos ignoramus? ALC. Nunquam.

24. SOC. Num igitur facile quiddam ſit Seipſum cognoſcere, ac ridiculus fuerit, qui templo Apollinis hoc inſcripſit? an potius arduum quippiam, nec cujuſvis hominis eſt? ALC. Mihi quidem, O Socrates, ſæpenumero viſum eſt facile, & cujuſvis eſſe; nonnunquam vero, omnium difficillimum. SOC. Sed ſive fa-

εἴτε ῥᾴδιον εἴτε μή ἐστιν, ὅμως γε ἡμῖν ὧδε ἔχει· γνόντες μὲν αὐτὸ, τάχ᾽ ἂν γνοῖμεν τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν· ἀγνοοῦντες δὲ, οὐκ ἄν ποτε. ΑΛΚ. Ἔστι ταῦτα. ΣΩΚ. Φέρε δή, τίν᾽ ἂν τρόπον εὑρεθείη [1]Αὐτοταυτό; οὕτω μὲν γὰρ ἂν τάχ᾽ εὕροιμεν, τί ποτ᾽ ἐσμὲν αὐτοί· τούτου δὲ ἔτι ὄντος ἐν ἀγνοίᾳ, ἀδύνατόν που. ΑΛΚ. Ὀρθῶς λέγεις. ΣΩΚ. Ἔχε οὖν πρὸς Διός. τῷ διαλέγῃ σὺ νῦν; ἄλλῳ τινὶ, ἢ ἐμοί; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν καὶ ἐγὼ σοί; ΑΛΚ. Ναί. ΣΩΚ. Σωκράτης ἄρα ἐστὶν ὁ διαλεγόμενος; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ἀλκιβιάδης δὲ ὁ ἀκούων; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν λόγῳ διαλέγεται ὁ Σωκράτης; ΑΛΚ. Τί μήν; ΣΩΚ. Τὸ δὲ διαλέγεσθαι καὶ τῷ λόγῳ χρῆσθαι, ταυτόν που καλεῖς; ΑΛΚ. Πανύ γε. ΣΩΚ. Ὁ δὲ χρώμενος καὶ ᾧ χρῆται, οὐκ ἄλλο; ΑΛΚ. Πῶς λέγεις; ΣΩΚ. Ὥσπερ σκυτοτόμος τέμνει που τομῇ καὶ σμίλῃ

cile hoc ſit, O Alcibiades, ſive difficile, nobis tamen ſic ſe habet, ut hoc intelligentes, etiam qua ratione curandi ſumus, intelligamus; ignorantes vero, contra. ALC. Eſt ut dicis. SOC. Age, quomodo illud quod eſt Ipſum Idem inveniemus? ſic enim fortaſſis quid ſimus ipſi, invenire poterimus; at hoc ignorantes, nunquam. ALC. Recte loqueris. SOC. Attende ergo per Deum: cum alione quam mecum tu diſputas? ALC. Tecum. SOC. Et ego nonne tecum? ALC. Etiam. SOC. Socrates igitur eſt qui diſputat? ALC. Eſt. SOC. Alcibiades vero qui audit. ALC. Ita eſt. SOC. Nonne oratione Socrates diſputat? ALC. Quidni? SOC. Diſputare autem & oratione uti idem quodammodo vocas? ALC. Idem. SOC. Utens autem & id quo utitur, nonne aliud? ALC. Quomodo dicis? SOC. Quemadmodum cerdo ſecat quidem cultro, ſcalpello, atque aliis in-

1 F. Αὐτὸ τὸ αὐτό.

καὶ ἄλλοις ὀργάνοις. ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν ἄλλο μὲν ὁ τέμνων καὶ ὁ χρώμενος, ἄλλο δὲ οἷς ὁ τέμνων χρῆται; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Αρ' οὖν οὕτω καὶ οἷς ὁ κιθαριστὴς κιθαρίζει, καὶ αὐτὸς ὁ κιθαριστὴς, ἄλλο ἂν εἴη; ΑΛΚ. Ναί. ΣΩΚ. Τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενός τε καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι. ΑΛΚ. Δοκεῖ. ΣΩΚ. Τί οὖν; φῶμεν τὸν σκυτοτόμον τέμνειν ὀργάνοις μόνον, ἢ καὶ χερσίν; ΑΛΚ. Καὶ χερσί. ΣΩΚ. Χρῆται ἄρα καὶ ταύταις. ΑΛΚ. Ναί. ΣΩΚ. Η καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; ΑΛΚ. Ναί. ΣΩΚ. Τὸν δὲ χρώμενον καὶ οἷς χρῆται, ἕτερα ὁμολογοῦμεν. ΑΛΚ. Ναί. ΣΩΚ. Ετερον ἄρα σκυτοτόμος, καὶ κιθαριστὴς, χειρῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ετερον δὴ τό, τι χρώμενον καὶ ᾧ χρῆται; ΑΛΚ. Ναί. ΣΩΚ. Ετερον ἄρα ὁ ἄνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώ-

ſtrumentis. ALC. Eſt ut dicis. SOC. Nonne aliud quiddam eſt qui ſecat, & utitur; aliud ea quibus utitur ſecans? ALC. Quidni? SOC. Item aliud citharœdus, aliud quo citharam pulſat? ALC. Aliud. SOC. Hoc paulo ante interrogabam, an utens & id quo utitur ſemper aliud eſſe videatur. ALC. Videtur. SOC. Cerdonem ſecare dicimus inſtrumentis tantum, an etiam manibus? ALC. Et manibus. SOC. Et iis ergo utitur. ALC. Utitur. SOC. Annon & oculis utens coria incidit? ALC. Prorſus. SOC. Utentem vero aliud quiddam ab iis quibus utitur eſſe conceſſimus. ALC. Conceſſimus. SOC. Cerdo igitur & citharœdus aliud quiddam ſunt quam manus & oculi quibus utuntur. ALC. Apparet. SOC. Nonne toto corpore homo utitur? ALC. Penitus. SOC. Aliud utique utens, & id quo utitur? ALC. Sic eſt. SOC. Homo ergo a ſuo corpore aliud

ματος. ΑΛΚ. Ἔοικε. ΣΩΚ. Τί ποτ' οὖν ὁ ἄνθρωπος; ΑΛΚ. Οὐκ ἔχω λέγειν. ΣΩΚ. Ἔχεις μὲν οὖν, ὅ, τι γε τῷ σώματι χρώμενον; ΑΛΚ. Ναί. ΣΩΚ. Ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ, ἢ ψυχή; ΑΛΚ. Οὐκ ἄλλο. ΣΩΚ. Οὐκοῦν ἄρχουσα; ΑΛΚ. Ναί. ΣΩΚ. Καὶ μὴν τόδε γε οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι. ΑΛΚ. Τὸ ποῖον; ΣΩΚ. Μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. ΑΛΚ. Τίνων; ΣΩΚ. Ψυχήν, ἢ σῶμα, ἢ καὶ ξυναμφότερον τὸ ὅλον τοῦτο. ΑΛΚ. Τί μήν; ΣΩΚ. Ἀλλὰ μὴν αὐτό γε τὸ τοῦ σώματος ἄρχον ὡμολογήσαμεν ἄνθρωπον εἶναι; ΑΛΚ. Ὡμολογήσαμεν. ΣΩΚ. Τίς οὖν ὁ ἄνθρωπος; ἆρ' οὖν σῶμα αὐτὸ ἄρχει; ΑΛΚ. Οὐδαμῶς. ΣΩΚ. Ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν. ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκ ἂν δὴ τοῦτό γε εἴη, ὃ ζητοῦμεν. ΑΛΚ. Οὐκ ἔοικεν. ΣΩΚ. Ἀλλ' ἆρα τὸ ξυναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι τοῦτό γε ἄνθρωπος. ΑΛΚ. Ἴσως δῆτα. ΣΩΚ.

eſt. ALC. Videtur. SOC. Quid eſt igitur homo? ALC. Ignoro. SOC. Num ſcis ergo quid ſit id quod corpore utitur? ALC. Scio. SOC. Aliudne utitur ipſo quam anima? ALC. Nil aliud. SOC. An non imperans? ALC. Imperans. SOC. Quinetiam neminem hoc aliter æſtimaturum puto. ALC. Quidnam? SOC. Quin ex tribus unum aliquid homo ſit. ALC. Ex quibus? SOC. Aut animam, aut corpus, aut totum ipſum ex utriſque compoſitum. ALC. Quidni? SOC. Veruntamen id quod imperat corpori, hominem eſſe confeſſi ſumus? ALC. Confeſſi ſumus. SOC. Quid igitur homo? num ſibi ipſi corpus imperat? ALC. Nullo modo. SOC. Subjici enim illud diximus. ALC. Certe. SOC. Non eſt igitur hoc quod quærimus. ALC. Non ut videtur. SOC. At utrumque ſimul forſitan corpori dominatur, atque id homo eſt. ALC. Forte. SOC.

Πάντων γε ἥκιστα. μὴ γὰρ οὖν ἄρχοντός του ἑτέρου, οὐδεμία που μηχανὴ τὸ ξυναμφότερον ἄρχειν. ΑΛΚ. Ορθῶς. ΣΩΚ. Επειδὴ δὲ οὔτε τὸ σῶμα οὔτε τὸ ξυναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται (οἶμαι) ἢ μηδὲν αὐτὸ εἶναι, ἤ, εἴπερ τί ἐστι, μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν. ΑΛΚ. Κομιδῆ μὲν οὖν.

κέ. ΣΩΚ. Ετι οὖν σαφέστερον δεῖ ἀποδειχθῆναί σοι, ὅτι ἡ ψυχή ἐστιν ἄνθρωπος; ΑΛΚ. Μὰ Δία, ἀλλὰ ἱκανῶς μοι δοκεῖ ἔχειν. ΣΩΚ. Εἴ δέ γε μὴ ἀκριβῶς, ἀλλὰ καὶ μετρίως, ἐξαρκεῖ ἡμῖν· ἀκριβῶς μὲν γὰρ τότε εἰσόμεθα, ὅταν εὕρωμεν ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως. ΑΛΚ. Τί τοῦτο; ΣΩΚ. Ο ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη [1] Αὐτοτοαυτό· νῦν δὴ ἀντὶ τοῦ αὐτοῦ, αὐτὸν ἕκαστον ἐσκέμμεθα τί ἐστι. Καὶ ἴσως ἐξαρκέσει· οὐ γάρ που κυριώτερόν γε

Imo minime omnium: nam altero illorum non dominante, nullo modo fieri poteſt, ut ſimul utrumque dominetur. ALC. Recte loqueris. SOC. Cum vero nec corpus, nec ſimul utrumque ſit homo, reſtat, ut arbitror, aut nihil omnino hominem eſſe, aut, ſi quid eſt, nihil aliud quam animam eſſe. ALC. Prorſus.

25. SOC. Num clarius adhuc monſtrari tibi oportet, animam eſſe hominem? ALC. Non per Jovem, nam hæc ſufficere mihi videntur. SOC. Si non accurate, mediocriter tamen inducta ſufficiunt: nam tunc demum accurate ſciemus, cum invenerimus quod nunc, quoniam ampliorem indagationem requirebat, prætermiſimus. ALC. Quid iſtud? SOC. Quod paulo ante ſic eſt dictum, *nimirum* prius conſiderandum eſſe illud quod eſt Ipſum Idem: nunc vero pro eo quod quidem eſt Ipſum Idem, conſideravimus ipſum unumquodque quid eſt. Idque forte ſufficiet. Nihil enim in nobis ipſis eſſe majus, quam

1 F. Αὐτὸ τὸ αὐτό.

οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν, ἢ τὴν ψυχήν. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις, τοῖς λόγοις χρωμένους, τῇ ψυχῇ πρὸς τὴν ψυχήν; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Τοῦτ' ἄρα ἦν ὃ καὶ ὀλίγον ἔμπροσθεν εἴπομεν, ὅτι Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δ' ἐστὶν ἡ ψυχή. ΑΛΚ. Εμοιγε δοκεῖ. ΣΩΚ. Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίσαι, ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. ΑΛΚ. Εοικεν. ΣΩΚ. Οστις ἄρα τῶν τοῦ σώματος γιγνώσκει, τὰ αὐτοῦ, ἀλλ' οὐχ αὐτὸν, ἔγνωκεν. ΑΛΚ. Οὕτως. ΣΩΚ. Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει καθ' ὅσον ἰατρὸς, οὐδὲ τῶν παιδοτριβῶν καθ' ὅσον παιδοτρίβης. ΑΛΚ. Οὐκ ἔοικε. ΣΩΚ. Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γινώσκειν ἑαυτούς. οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικεν, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχουσι. τὰ γὰρ τοῦ σώματος

animam, dicere poſſemus. ALC. Non certe. SOC. Nonne ſic putandum eſt, me ſcilicet ac te confabulari invicem, anima ad animam, ſermone utentes? ALC. Et maxime quidem. SOC. Hoc itaque erat quod paulo ante dicebamus, quod Socrates cum Alcibiade diſputat, oratione utens non ad perſonam tuam, ut apparet, ſed ad Alcibiadem verba dirigens: hoc autem anima eſt. ALC. Mihi ſane videtur. SOC. Animam igitur noſſe jubet, qui præcipit, Noſce teipſum. ALC. Videtur. SOC. Quicunque igitur corpus cognoſcit, ſua quidem, non ſeipſum novit. ALC. Sic eſt. SOC. Atque ideo nullus medicus, ut eſt medicus, neque gymnaſticus, ut gymnaſticus, ſeſe novit. ALC. Non ut videtur. SOC. Multo minus agricolæ aliique opifices ſe cognoſcunt: neque enim ſua illi quidem *norunt*, ſed remotiora quædam, juxta artes quas excercent: iis enim intenti ſunt, quibus corpus cu-

γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. ΑΛΚ. Οὔ μοι δοκεῖ. ΣΩΚ. Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Οὐκοῦν πάλιν ὅστις αὖ σῶμα θεραπεύει, τὸ ἑαυτοῦ, ἀλλ' οὐχ ἑαυτὸν, θεραπεύει; ΑΛΚ. Κινδυνεύει. ΣΩΚ. Ὅστις δέ γε τὰ χρήματα, οὔθ' ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ; ΑΛΚ. Ἔμοιγε δοκεῖ. ΣΩΚ. Οὐ τὰ αὑτοῦ ἄρα ἔτι πράττει, ὁ χρηματιστής. ΑΛΚ. Ὀρθῶς. ΣΩΚ. Εἰ ἄρα τις γέγονεν ἐραστὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐκ Ἀλκιβιάδου ἄρα ἠράσθη, ἀλλά τινος τῶν Ἀλκιβιάδου. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Ὅστις δὲ σοῦ, τῆς ψυχῆς ἐρᾷ; ΑΛΚ. Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου. ΣΩΚ. Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται; ΑΛΚ. Φαίνεται. ΣΩΚ. Ὁ δέ γε τῆς

ratur. ALC. Vera narras. SOC. Quare ſi prudentia eſt ſeipſum noſſe, nullus iſtorum ſecundum ſuam artem eſt prudens. ALC. Non ut videtur. SOC. Ob hoc mechanicæ artes iſtæ, non autem boni viri diſciplinæ, videntur. ALC. Prorſus. SOC. Nonne rurſus quicunque corporis curam habet, id quod ſuum eſt, non autem ſeipſum, curat? ALC. Apparet. SOC. Et qui pecuniam *curat*, nec ſe, nec ſua, ſed quæ procul a ſuis ſunt, *curat*. ALC. Mihi videtur. SOC. Non ergo ſua curat qui pecunias cumulat. ALC. Recte. SOC. Quiſquis igitur corpus Alcibiadis amavit, non Alcibiadem ipſum, ſed id quod Alcibiadis eſſet, amavit. ALC. Vera loqueris. SOC. Qui vero te amat, amat animam. ALC. Neceſſario ſequi ex argumento *tuo* videtur. SOC. Nonne tui corporis amator, cum primum flos ejus deflorefcit, abiens deſerit? ALC. Apparet. SOC. At vero qui

ψυχῆς ἐρῶν, οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον [1] εἴη. ΑΛΚ. Εἰκός γε. ΣΩΚ. Οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν, ἀλλὰ παραμένων, λήγοντος τοῦ σώματος τῶν ἄλλων ἀπεληλυθότων. ΑΛΚ. Εὖ γε ποιῶν, ὦ Σώκρατες, καὶ [2] μηδὲ ἀπέλθῃς. ΣΩΚ. Προθυμοῦ τοίνυν ὅτι κάλλιστος εἶναι. ΑΛΚ. Ἀλλὰ προθυμήσομαι. ΣΩΚ. Ὡς οὕτω γέ σοι ἔχει. οὔτ' ἐγένετο (ὡς ἔοικεν) Ἀλκιβιάδῃ τῷ Κλεινίου ἐραστὴς, οὔτ' ἔστιν, ἀλλ' ἢ εἷς μόνος καὶ οὗτος ἀγαπητός Σωκράτης ὁ Σωφρονίσκου καὶ Φαιναρέτης. ΑΛΚ. Ἀληθῆ. ΣΩΚ. Οὐκοῦν ἔφησθα μικρὸν φθῆναί με προσελθόντα σοι; ἐπεὶ πρότερος ἄν μοι προσελθεῖν βουλόμενος πυθέσθαι, διότι μόνος οὐκ ἀπέρχομαι. ΑΛΚ. Ἦν γὰρ οὕτω. ΣΩΚ. Τοῦτο τοίνυν αἴτιον, ὅτι μόνος ἐραστὴς ἦν σός· οἱ δ' ἄλλοι, τῶν σῶν. τὰ δὲ σὰ λήγει ὥρας, σὺ δ' ἄρχῃ ἀνθεῖν. καὶ νῦν γε, ἂν μὴ διαφθαρῇς ὑπὸ τοῦ Ἀθη-

animam tuam diligit, nunquam deſerit, donec ad meliorem frugem pervenias. ALC. Conſentaneum. SOC. Hanc ego ob cauſam te minime deſero, verum in amicitia perſevero, reliquis ſeneſcente corpore abeuntibus. ALC. Bene facis, mi Socrates; & ne in poſterum me deſeras, obſecro. SOC. At enitere, ut quam pulcherrimus fias. ALC. Conabor. SOC. Sic ſe tua res habet: nec fuit unquam nec eſt, ut opinor, Alcibiadis Cliniæ filii amator ullus præter unum & illum quidem amabilem, Socratem Sophroniſci & Phænaretæ *filium*. ALC. Vera dicis. SOC. Nonne dixiſti me aliquantulum prævenisſe te compellantem? nam ſtatuiſſe te prius meipſum convenire & interrogare quamobrem ſolus ego te non reliquerim. ALC. Sic erat. SOC. Hæc proculdubio cauſa, quoniam amator tui ſolus eram, cæteri vero tuorum. Tua ſane labuntur tempore, tu autem nunc primum floreſcis: ac deinceps quidem, niſi ab Athe-

1 F. ἴῃ. Ita *MSS.*

2 F. μὴ δὴ &c.

ναίων δῆμος, καὶ αἴσχιον γένῃ, οὐ μή σε ἀπολείπω. τοῦτο γὰρ δὴ μάλιστα ἐγὼ φοβοῦμαι, μή, δημεραστὴς γενόμενος, ἡμῖν διαφθαρῇς. πολλοὶ γὰρ ἤδη κἀγαθοὶ αὐτὸ πεπόνθασιν Ἀθηναίων. εὐπρόσωπος γὰρ ὁ τοῦ μεγαλήτορος δῆμος Ἐρεχθέως, ἀλλ' ἀποδύντα χρὴ αὐτὸν θεάσασθαι. εὐλαβοῦ οὖν τὴν εὐλάβειαν, ἣν ἐγὼ λέγω. ΑΛΚ. Τίνα; ΣΩΚ. Γύμνασαι πρῶτον, ὦ μακάριε, καὶ μάθε ἃ δεῖ μαθόντα ἰέναι ἐπὶ τὰ τῆς πόλεως· πρότερον δὲ, μή· ἵνα ἀλεξιφάρμακα ἔχων ἴῃς, καὶ μηδὲν πάθῃς δεινόν. ΑΛΚ. Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες. ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντινα τρόπον ἐπιμεληθεῖμεν ἡμῶν αὐτῶν.

κζ΄. ΣΩΚ. Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τοπρόσθεν πεπέρανται; ὃ γάρ ἐσμεν, ἐπιεικῶς ὡμολόγηται. ἐφοβούμεθα δὲ μή, τούτου σφαλέντες, λάθωμεν ἑτέρου τινὸς ἐπιμελούμενοι, ἀλλ' οὐχ ἡμῶν. ΑΛΚ. Ἔστι ταῦτα. ΣΩΚ. Καὶ μετὰ τοῦτο δὴ,

nienſi populo corrumparis, ac turpior evadas, nunquam te deſeram. Id enim vehementer timeo, ne amator populi factus nobis corrumparis. Multis enim & ingenuis quidem apud Athenienſes id uſu venit. Nam bene perſonatus eſt magnanimi Erecthei populus: ſed illum nudatum contueri oportet. Adhibe igitur hanc quam dico cautionem. ALC. Quam? SOC. Excerce te ipſum prius, O beate, ac diſce quæcunque ſcienda ſunt, antequam tractes civilia; ut feras tecum alexipharmaca, nec quid adverſi patiaris. ALC. Bene mihi dicere videris, Socrates, verum conare jam nobis exponere, qua ratione noſmet ipſos curemus.

26. SOC. Nonne ſatis jam a nobis in superioribus definitum eſt? Quid enim ſimus, communi conſenſu definivimus. Timebamus enim ne in hoc decepti inſcienter alicujus alterius, non noſtri, curam haberemus. ALC. Eſt ut dicis. SOC. Deinde conceſſum eſt, animæ curam haben-

ὅτι ψυχῆς ἐπιμελητέον, καὶ εἰς τοῦτο βλεπτέον. ΑΛΚ. Δῆλον. ΣΩΚ. Σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον. ΑΛΚ. Τί μήν; ΣΩΚ. Τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα; ἐπειδὴ τοῦτο γνόντες, ὡς ἔοικε, καὶ ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος, οὗ δὴ νῦν ἐμνήσθημεν, τοῦ Δελφικοῦ γράμματος, οὐ ξύνισμεν; ΑΛΚ. Τὸ ποῖον; τί διανοούμενος λέγεις, ὦ Σώκρατες; ΣΩΚ. Ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν καὶ ξυμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα· κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. ΑΛΚ. Πῶς τοῦτο λέγεις; ΣΩΚ. Σκόπει καὶ σύ, εἰ ἡμῶν τῷ ὄμματι, ὥσπερ ἀνθρώπῳ, ξυμβουλεύων, εἶπεν, Ἴδε σαυτόν, πῶς ἂν ὑπελάβομέν τι παραινεῖν; ἆρα οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὀφθαλμὸς ἔμελλεν αὐτὸν ἰδεῖν; ΑΛΚ. Δῆλον. ΣΩΚ. Ἐννοῶμεν δή, εἰς τί

dam, ſemperque ad ipſum reſpiciendum. ALC. Manifeſtum eſt. SOC. Corporum vero pecuniarumque curam aliis relinquendam. ALC. Quidni? SOC. Quonam igitur pacto iſta maxime perſpicue cognoſcamus? ſi hoc intellecto ut par eſt nos quoque ipſos intelligemus. an vero, per Deos, Delphicam illam inſcriptionem recte monentem, cujus ſupra mentionem fecimus, nondum intelleximus? ALC. Qualem? quidnam cogitas, quum ſic loqueris, O Socrates? SOC. Dicam tibi quid ſuſpicer hanc inſcriptionem dicere nobis & conſulere: neque enim paſſim ejus exemplum, ſed viſum ſolummodo reſpicere videtur. ALC. Quomodo id ais? SOC. Conſidera tu quoque; ſi oculo noſtro quemadmodum homini conſuluiſſet, Vide teipſum, quomodo id admonuiſſe putaremus? nonne ut in illud inſpiceret, ex cujus intuitu ſeipſum viſurus eſſet? ALC. Conſtat. SOC. Conſideremus itaque in quid potiſſimum intuentes,

Bayerische Staatsbibliothek München

βλέποντες τῶν ὄντων, ἐκεῖνό τε ὁρῷμεν ἅμα ἂν καὶ ἡμᾶς αὐτούς. ΑΛΚ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα. ΣΩΚ. Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν [1]ἕν ἐστι τῶν τοιούτων; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ κατ' ἀντικρὺ ὄψει, ὥσπερ ἐν κατόπτρῳ; ὃ δὴ καὶ κορυφὴν καλοῦμεν, εἴδωλον ὂν τοῦ ἐμβλέποντος. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Ὀφθαλμὸς ἄρα ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τοῦτο ὅπερ βέλτιστον αὐτοῦ, καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὐτὸν ἴδοι. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Εἰ δέ γε εἰς ἄλλο τι τῶν τοῦ ἀνθρώπου βλέποι, ἤ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο ᾧ τοῦτο τυγχάνει ὅμοιον, οὐκ ὄψεται ἑαυτόν. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν ἑαυτόν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τυγχάνει ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη· ἔστι δὲ τοῦτό που ὄψις. ΑΛΚ. Οὕτως. ΣΩΚ. Ἆρ' οὖν,

illud simul ac nos ipsos videremus? ALC. Sine dubio, Socrates, in specula & alia hujusmodi. SOC. Recte loqueris: sed oculo quo videmus, annon inest hujusmodi quiddam? ALC. Valde. SOC. Num advertisti quod facies hominis, oculum quemvis intuentis, in oculo opposito relucet velut in speculo; quam κορυφὴν appellamus, simulacrum nimirum inspicientis? ALC. Adverti. SOC. Oculus ergo oculum inspiciens, & illud intuens quod est pars sui optima, & per quod cernit, ita demum semetipsum inspiciet. ALC. Apparet. SOC. Si autem in aliud quoddam hominis membrum respexerit vel in quodvis aliud, præterquam id cujus hoc est simile, haudquaquam seipsum videbit. ALC. Verum dicis. SOC. Oculus ergo cum seipsum visurus est, oculum respicere debet, atque in eum oculi locum in quo virtus est oculi ingenita: is autem acies est. ALC. Sic est. SOC. Ergo

1 F. ἔνεστί τι τῶν, &c.

ὦ φίλε Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὑτὴν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετὴ, σοφία· καὶ εἰς ἄλλο, ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; ΑΛΚ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ΣΩΚ. Ἔχομεν οὖν εἰπεῖν ὅ, τι ἐστὶ τῆς ψυχῆς θειότερον, ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν; ΑΛΚ. Οὐκ ἔχομεν. ΣΩΚ. Τῷ θείῳ ἄρα τοῦτο ἔοικεν αὐτῆς, καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν τὸ θεῖον γνοὺς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη μάλιστα. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Τὸ δὲ γιγνώσκειν αὑτὸν, ὁμολογοῦμεν σωφροσύνην εἶναι. ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ἆρ᾽ οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς, μηδὲ σώφρονες ὄντες, δυναίμεθα εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; ΑΛΚ. Καὶ πῶς ἂν τοῦτο γένοιτο, ὦ Σώκρατες; ΣΩΚ. Ἀδύνατον γὰρ ἴσως φαίνεται, μὴ γιγνώσκοντα Ἀλκιβιάδην, τὰ Ἀλκιβιάδου γι-

dem pacto & anima, O amice Alcibiades, ſi ſeipſam noſcere vult, in animam intueri debet, eumque præcipue locum animæ, in quo eſt virtus animæ ingenita *nimirum* ſapientia, & in aliud quoddam cujus hoc eſt ſimile? ALC. Mihi quidem videtur, O Socrates. SOC. Num reperire poſſumus quippiam in anima divinius illo circa quod intelligentia ſapientiaque *verſatur?* ALC. Nequaquam. SOC. Ea igitur animæ pars divinitati ſimile eſt, in quam ſane quis intuens, & omne divinum, Deum ſcilicet & ſapientiam, cernens, ita & ſeipſum agnoſcet maxime. ALC. Apparet. SOC. Seipſum vero cognoſcere, prudentiam eſſe concedimus. ALC. Prorſus. SOC. Si autem nec nos ipſos cognoſceremus, nec prudentes eſſemus, poſſemuſne noſtra, ſeu mala, ſeu bona noſſe? ALC. Quomodo poſſet fieri, O Socrates? SOC. Impoſſibile tibi forte videtur quenquam qui non noritAlcibiadem,

νώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν. ΑΛΚ. Ἀδύνατον μέντοι νὴ Δία. ΣΩΚ. Οὐδ᾽ ἄρα τὰ ἡμέτερα, ὅτι ἡμέτερα, εἰ μὴ δι᾽ ἡμᾶς αὐτούς. ΑΛΚ. Πῶς γάρ; ΣΩΚ. Εἰ δ᾽ ἄρα τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων. ΑΛΚ. Οὐ φαίνεται.

κζ΄. ΣΩΚ. Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν, ὁμολογοῦντες ἄρτι εἶναί τινας οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ ἑαυτῶν· ἀλλ᾽ οὐδὲ τὰ τῶν ἑαυτῶν. ἔοικε γὰρ πάντα ταῦτα εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, αὑτόν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ. ΑΛΚ. Κινδυνεύει. ΣΩΚ. Ὅστις δὲ τὰ αὑτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἂν ἀγνοοῖ κατὰ ταυτά. ΑΛΚ. Τί μήν; ΣΩΚ. Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει; ΑΛΚ. Ἀνάγκη. ΣΩΚ. Οὐκ ἄρα ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐ μὴν οὐδ᾽ οἰκονομικός γε.

tamen, quæ Alcibiadis ſunt, quod ſint Alcibiadis noſſe. ALC. Impoſſibile per Jovem. SOC. Nec noſtra quod noſtra ſint, niſi per noſmet ipſos. ALC. Nullo modo. SOC. Si noſtra *ignoremus*, *tum* nec ea quæ noſtrorum ſunt *intelligemus*. ALC. Non, ut videtur.

27. SOC. Non igitur omnino recte conſenſimus, cum ſupra quoſdam eſſe aſſereremus, qui ſe ignorantes ſua tamen dignoſcerent. Atqui nec ea etiam quæ ſuorum. Hæc enim cuncta dignoſcere unius atque ejuſdem artis officium eſſe videtur, ſeipum ſcilicet, et quæ ſua ſunt, et quæ ſuorum ſunt. ALC. Videtur. SOC. At qui ſua ignorat, eadem ratione & aliena. ALC. Quidni? SOC. Num igitur ſi aliena, etiam quæ reipublicæ ſunt ignorabit? ALC. Neceſſe eſt. SOC. Nunquam ergo vir iſtiuſmodi politicus fiat. ALC. Non certe. SOC. Nec œconomicus etiam.

ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐδέ γε εἴσεται, ὅ, τι πράττει. ΑΛΚ. Οὐ γὰρ οὖν. ΣΩΚ. Ὁ δὲ μὴ εἰδὼς, οὐχ ἁμαρτήσεται; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Ἐξαμαρτάνων δὲ, οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; ΑΛΚ. Πῶς δ' οὔ; ΣΩΚ. Κακῶς δὲ πράττων, οὐκ ἄθλιος; ΑΛΚ. Σφόδρα γε. ΣΩΚ. Τί δ' οἷς οὗτος πράττει; ΑΛΚ. Καὶ οὗτοι. ΣΩΚ. Οὐκ ἄρα οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι. ΑΛΚ. Οὐχ οἷόν τε. ΣΩΚ Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων, ἄθλιοι. ΑΛΚ. Σφόδρα γε. ΣΩΚ. Οὐκ ἄρα οὐδ' ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεται, ἀλλ' ὁ σωφρονήσας. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Οὐκ ἄρα τειχῶν, οὐδὲ τριήρων, οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους, οὐδὲ μεγέθους, ἄνευ ἀρετῆς. ΑΛΚ. Οὐ μέντοι. ΣΩΚ. Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον τοῖς πο-

ALC. Neque hoc. SOC. Nec quid agit intelliget. ALC. Minime. SOC. Ignorans autem nonne errabit? ALC. Maxime. SOC. Qui autem aberrat annon male aget, & privatim & publice? ALC. Quidni? SOC. Male autem agens nonne miser? ALC. Et maxime quidem. SOC. An vero & ii quibuscum hic agit? ALC. Et hi quoque. SOC. Nemo itaque felix esse potest nisi sapiens bonusque sit. ALC. Nemo.

SOC. Sequitur, ut mali homines miseri sint. ALC. Apprime. SOC. Non ergo vel qui dives sit miseriam vitat, sed qui prudens. ALC. Videtur. SOC. Quamobrem nec mœnibus, nec triremibus, neque navalibus civitates indigent, mi Alciabides, ad hoc ut felices sint, nec multitudine nec amplitudine absque virtute. ALC. Non profecto. SOC. Si utique recte & præclare civitatem gubernaturus es, virtus a te civibus imper-

λίποις. ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Δύναιτο δ' ἄν τις μεταδιδόναι, ὃ μὴ ἔχει; ΑΛΚ. Καὶ πῶς; ΣΩΚ. Αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετὴν, καὶ ἄλλῳ, ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὐτοῦ τε καὶ τῶν αὐτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. ΑΛΚ. Ἀληθῆ λέγεις.

κή. ΣΩΚ. Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ' ἀρχὴν παρασκευαστέον σαυτῷ ποιεῖν ὅ, τι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην, καὶ σωφροσύνην. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως, σύ τε καὶ ἡ πόλις θεοφιλῶς πράξετε. ΑΛΚ. Εἰκός γε. ΣΩΚ. Καὶ, ὅπερ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Ἀλλὰ μὴν ἐνταῦθά γε βλέποντες, ὑμᾶς τε αὐτοὺς καὶ τὰ ὑμέτερα ἀγαθὰ κατόψεσθέ τε καὶ γνώσεσθε. ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν ὀρθῶς τε καὶ εὖ πράξετε. ΑΛΚ. Ναί. ΣΩΚ.

tienda eſt. ALC. Quidni? SOC. Num impertire quis poteſt aliis quod ipſe non habet? ALC. Qui poſſit? SOC. Ergo virtutem prius ipſe acquirere debes, et alius, quicunque non ſibi tantum ac ſuis, ſed reipublicæ etiam & iis quæ ad rempublicam ſpectant, imperare vult & ſe adjicere. ALC. Vera dicis.

28. SOC. Nec igitur principatus, neque licentia quodlibet faciendi aut tibi aut reipublicæ, verum juſtitia potius & prudentia, comparanda. ALC. Apparet. SOC. Juſte enim ac prudenter agentes & tu ſimul & tua reſpublica Deo gratum opus facietis. ALC. Veriſimile eſt. SOC. Et quemadmodum ſupra diximus, in divinum illud & ſplendidum intuentes agetis. ALC. Videtur. SOC. Quinetiam illuc reſpicientes voſmet ipſos veſtraque bona perſpicietis & diſcernetis. ALC. Certe. SOC. Ideoque recte atque bene agetis. ALC. Certe. SOC.

Αλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέλω ἐγγυήσασθαι, ἢ μὴν εὐδαιμονήσειν. ΑΛΚ. Ασφαλὴς γὰρ εἶ ἐγγυητής. ΣΩΚ. Αδίκως δέ γε πράττοντες, εἰς τὸ ἄθεον καὶ σκοτεινὸν βλέποντες, ὡς τὰ εἰκότα ὅμοια τούτοις πράξετε, ἀγνοοῦντες ὑμᾶς αὐτούς. ΑΛΚ. Εοικεν. ΣΩΚ. Ω, γὰρ, ὦ φίλε Αλκιβιάδη, ἐξουσία μὲν ᾖ ποιεῖν ὃ βούλεται, νοῦν δὲ μὴ ἔχῃ, τί τὸ εἰκὸς συμβαίνειν, ἰδιώτῃ ἢ καὶ πόλει; οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ βούλεται, νοῦν ἰατρικὸν μὴ ἔχοντι, τυραννοῦντι δὲ ὡς μηδὲ ἐπιπλήττοι τὶς αὐτῷ, τί τὸ συμβησόμενον; ἆρ' οὐχ, ὡς τὸ εἰκὸς, διαφθαρῆναι τὸ σῶμα; ΑΛΚ. Αληθῆ λέγεις. ΣΩΚ. Τί δ' ἐν νηῒ, εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ, νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ, καθορᾷς ὃ ἂν ξυμβαίνῃ αὐτῷ τε καὶ τοῖς ξυνναύταις; ΑΛΚ. Εγωγε, ὅτι γε ἀπόλοιντο πάντες ἄν. ΣΩΚ. Οὐκοῦν ὡσαύτως ἐν πό-

Enimvero fidejubere paratus ſum, vos, ſi ita vixeritis, felices fore. ALC. Fidejuſſor profecto non fallax. SOC. Contra, ſi injuſte vixeritis, intuentes illud quod tenebroſum eſt & divinitatis expers, conſimilia tenebris opera, quemadmodum veriſimile eſt, facietis, vos ipſos ignorantes. ALC. Videtur. SOC. Cui enim, O amice Alcibiades, poteſtas adeſt quocunque libuerit faciendi, mente vero captus eſt, quidnam (putas) illi continget? ſive privatus ſit, ſive respublica? Veluti ſi ægrotanti cuidam libera licentia ſit, rationem medici nullam habenti, & tyrannidem ita exercenti, ut nemo eum reprehendere audeat, quid illi eventurum putas? Nonne veriſimile eſt corpus iri corruptum? ALC. Vera loqueris. SOC. Quid vero ſi in navi apud quempiam omnis licentia ſit quodcunque videatur agendi, mente tamen ac gubernandi peritia careat, tum cernis quid ei & ſociis itineris ſui eventurum ſit? ALC. Opinor fore ut omnes una pe-

λει τε καὶ ἁπάσαις ἀρχαῖς καὶ ἐξουσίαις, ἀπολειπομένοις ἀρετῆς, ἕπεται τὸ κακῶς πράττειν; ΑΛΚ. Ἀνάγκη. ΣΩΚ. Οὐκ ἄρα τυραννίδα χρή, ὦ ἄριστε Ἀλκιβιάδη, παρασκευάζεσθαι, οὔτε ἑαυτῷ, οὔτε τῇ πόλει (εἰ μέλλετε εὐδαιμονεῖν) ἀλλ' ἀρετήν. ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Πρὶν δέ γε ἀρετὴν ἔχειν, τὸ ἄρχεσθαι ἄμεινον ὑπὸ τοῦ βελτίονος, ἢ τὸ ἄρχειν, ἀνδρί, οὐ μόνον παιδί. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Οὐκοῦν τό γε ἄμεινον, καὶ κάλλιον; ΑΛΚ. Ναί. ΣΩΚ. Τὸ δὲ κάλλιον, πρεπωδέστερον; ΑΛΚ. Πῶς δ' οὔ; ΣΩΚ. Πρέπει ἄρα τῷ κακῷ δουλεύειν· ἄμεινον γάρ. ΑΛΚ. Ναί. ΣΩΚ. Δουλοπρεπὲς ἄρα ἡ κακία. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή. ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν φεύγειν χρή, ὦ ἑταῖρε, τὴν δουλοπρέπειαν. ΑΛΚ. Μάλιστά γε, ὦ Σώκρατες. ΣΩΚ. Αἰσθάνῃ δὲ νῦν, πῶς ἔχεις; ἐλευθεροπρεπῶς, ἢ οὔ; ΑΛΚ. Δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι.

reant. SOC. Nonne igitur omni pariter reipublicæ omnique imperio & dominationi, ubi virtus abeſt, contingit ut male agat? ALC. Neceſſe eſt. SOC. Non ergo tyrannis, optime Alcibiades, aut nobis aut reipublicæ paranda eſt, ſed virtus, ſi quidem felices eſſe volumus. ALC. Vera dicis. SOC. Cæterum antequam virtus adſit, conducit viro, non ſolum puero, regi a meliore quam regere. ALC. Apparet. SOC. Nonne quod melius eſt, idem & pulcrius? ALC. Sic eſt. SOC. Quod pulcrius, decentius? ALC. Quidni? SOC. Decet itaque malum ſervire: melius enim eſt. ALC. Decet. SOC. Servilis ergo res eſt pravitas. ALC. Apparet. SOC. Liberalis autem eſt virtus. ALC. Ita eſt. SOC. Nonne, O amice, ſervitus fugienda? ALC. Maxime quidem, O Socrates. SOC. Advertiſne autem quomodo te nunc habeas? utrum libere, an contra? ALC. Et maxime quidem, ut mihi videor, adverto.

κθ'. ΣΩΚ. Οἶσθα οὖν, πῶς ἀποφεύξῃ τοῦτο ὃ περὶ σὲ νῦν; ἵνα μὴ ὀνομάζωμεν αὐτὸ ἐπὶ καλῷ ἀνδρί. ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Πῶς; ΑΛΚ. Ἐὰν βούλῃ σύ, ὦ Σώκρατες. ΣΩΚ. Οὐ καλῶς λέγεις, ὦ Ἀλκιβιάδη. ΑΛΚ. Ἀλλὰ πῶς χρὴ λέγειν; ΣΩΚ. Ὅτι, ἐὰν θεὸς ἐθέλῃ. ΑΛΚ. Λέγω δή· καὶ πρὸς τούτοις μέντοι τόδε λέγω, ὅτι κινδυνεύσομεν μεταβαλεῖν τὸ σχῆμα, ὦ Σώκρατες, τὸ μὲν σὸν ἐγώ, σὺ δὲ τοὐμόν· οὐ γάρ ἐστιν ὅπως οὐ παιδαγωγήσω σε ἀπὸ τῆσδε τῆς ἡμέρας, σὺ δ' ὑπ' ἐμοῦ παιδαγωγήσῃ. ΣΩΚ. Ὦ γενναῖε, πελαργοῦ ἄρα ὁ ἐμὸς ἔρως οὐδὲν διοίσει, εἰ παρὰ σοὶ ἐννεοττεύσας ἔρωτα ὑπόπτερον, ὑπὸ τούτου πάλιν θεραπεύεται. ΑΛΚ. Ἀλλ' οὕτως ἔχει· καὶ ἄρξομαί γε ἐντεῦθεν τῆς δικαιοσύνης ἐπιμελεῖσθαι. ΣΩΚ. Βουλοίμην ἄν σε καὶ διατελέσαι. ὀρρωδῶ δέ, οὔτι τῇ σῇ φύσει ἀπιστῶν, ἀλλὰ τὴν τῆς πόλεως ὁρῶν ῥώμην, μὴ ἐμοῦ τε καὶ σοῦ κρατήσῃ.

29. SOC. Noſtine ergo quo pacto id quod nunc te occupat fugere queas? nolim enim iſtud in pulchro homine nominemus. ALC. Novi equidem. SOC. Quomodo igitur? ALC. Si ipſe volueris, O Socrates. SOC. Haud recte loqueris, Alcibiades. ALC. At quomodo dicendum eſt? SOC. Si Deus voluerit. ALC. Dico equidem; atque hoc inſuper addo, periculum eſſe ne perſonas invicem mutemus, O Socrates, tuam quidem ego induens, tu autem meam: fieri enim non poteſt, quin ego te deinceps erudiam, tu autem a me erudiaris. SOC. O generoſe, nihilo igitur meus in te amor a ciconia differt, ſi poſteaquam prope te velut in nido amorem alatum foverit, ab illo iterum nutriatur. ALC. Profecto ſic ſe res habet, & incipiam hinc jam juſtitiam meditari. SOC. O quam te perſeverare velim. Timeo autem, non naturæ tuæ diffidens, ſed hujus civitatis vim intelligens, ne ea me ſimul ac te vincat.

ΠΛΑΤΩΝΟΣ

ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ

Η ΠΕΡΙ

ΠΡΟΣΕΥΧΗΣ.

ΣΩΚΡΑΤΗΣ, ΑΛΚΙΒΙΑΔΗΣ.

Ὦ Ἀλκιβιάδη, ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος πορεύῃ; ΑΛΚ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες. ΣΩΚ. Φαίνῃ γέ τι ἐσκυθρωπακέναι τε καὶ εἰς γῆν βλέπειν, ὥς τις συννοούμενος. ΑΛΚ. Καὶ τί ἄν τις συννοοῖτο, ὦ Σώκρατες; ΣΩΚ. Τὴν μεγίστην, ὦ Ἀλκιβιάδη, σύν-

PLATONIS

ALCIBIADES SECUNDUS

SIVE DE

PRECATIONE.

SOCRATES, ALCIBIADES.

DEUMNE, O Alcibiades precaturus accedis? ALC. Et maxime quidem, O Socrates. SOC. Triſtitiam quandam præ te ferre videris, & terram intueri, tanquam aliquid ipſe tecum cogitans. ALC. At quid cogitem, O Socrates? SOC. Maxima, ut mihi videtur: nam

νοιαν, ὥς γε μοι δοκεῖ. ἐπεὶ φέρε πρὸς Διός, οὐκ οἴει τοὺς θεούς, ἃ τυγχάνομεν εὐχόμενοι καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἐνίοτε τούτων τὰ μὲν διδόναι, τὰ δ' οὔ; καὶ ἔστιν οἷς μὲν αὐτῶν, ἔστι δὲ οἷς οὔ; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Οὐκοῦν δοκεῖ σοι πολλῆς προμηθείας γε προσδεῖσθαι, ὅπως μὴ λήσεταί τις αὐτόν, εὐχόμενος μεγάλα κακά, δοκῶν δ' ἀγαθά· εἰ δὲ θεοὶ τύχωσιν ἐν ταύτῃ ὄντες τῇ ἕξει, ἐν ᾗ διδόασιν αὐτοὶ ἅ τις εὐχόμενος τυγχάνει; ὥσπερ τὸν Οἰδίπουν αὐτίκα φασὶν εὔξασθαι, χαλκῷ διελέσθαι τοὺς υἱεῖς τὰ πατρῷα· ἐξὸν αὐτῷ τῶν παρόντων κακῶν ἀποτροπήν τινα εὔξασθαι, ἕτερα πρὸς τοῖς ὑπάρχουσι κατηρᾶτο. τοιγαροῦν ταῦτά τε ἐξετελέσθη, καὶ ἐκ τούτων ἄλλα πολλὰ καὶ δεινά· ἃ τί δεῖ καθέκαστα λέγειν; ΑΛΚ. Ἀλλὰ σὺ μέν, ὦ Σώκρατες, μαινόμενον ἄνθρωπον εἴρηκας. ἐπεὶ τίς ἄν σοι δοκῇ τολμῆσαι ὑγιαίνων τοιαῦτ' εὔξασθαι; ΣΩΚ. Τὸ

dic per Jovem, Obſecro, nonne putas deos, eorum quæ vel privatim vel publice precamur, nonnunquam concedere partem, partem negare, atque id his quidem annuere, illis vero minime? ALC. Omnino quidem. SOC. Nonne igitur tibi videtur magna providentia opus eſſe, ne quis ſeipſum fallat dum magna petit mala, credens bona ſe petere: Deorum autem hic ſit habitus, ut largiantur, quæ quis poſtulat? quemadmodum OEdipum ferunt obſecraſſe Deum de regno paterno ut filii ferro decernerent: cumque ei licuiſſet præſentium tum malorum averſionem petere, alia inſuper imprecabatur. Unde ad eum eventum iſta venerunt, atque ex iis alia multa & gravia, quæ referre ſingula nequaquam opus eſt. ALC. At tu furentem quidem hominem in exemplum adduxiſti: nam, quem putas ſanæ mentis hominem auſurum talia petere? SOC. Inſanire nonne con-

μαίνεσθαι ἆρά γε ὑπεναντίον σοι δοκεῖ τῷ σωφρονεῖν; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Αφρονες δὲ καὶ φρόνιμοι δοκοῦσιν ἄνθρωποι εἶναι τινές σοι; ΑΛΚ. Εἶναι μέν τοι.

β΄. ΣΩΚ. Φέρε δὴ ἐπισκεψώμεθα, τίνες ποτ' εἰσὶν οὗτοι. ὅτι μὲν γὰρ εἰσί τινες ὡμολόγηται ἄφρονές τε καὶ φρόνιμοι, καὶ μαινόμενοι ἕτεροι. ΑΛΚ. Ὡμολόγηται γάρ. ΣΩΚ. Ετι δὲ ὑγιαίνοντες εἰσί τινες; ΑΛΚ. Εἰσίν. ΣΩΚ. Οὐκοῦν καὶ ἀσθενοῦντες ἕτεροι; ΑΛΚ. Πάνυ γε. ΣΩΚ. Οὐκοῦν οὐχ οἱ αὐτοί; ΑΛΚ. Οὐ γάρ. ΣΩΚ. Αρ' οὖν καὶ ἕτεροί τινές εἰσιν, οἳ μηδ' ἕτερα τούτων πεπόνθασιν; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ανάγκη γάρ ἐστιν ἄνθρωπον ὄντα νοσεῖν, ἢ μὴ νοσεῖν. ΑΛΚ. Εμοιγε δοκεῖ. ΣΩΚ. Τί δέ; περὶ φρονήσεως καὶ ἀφροσύνης, ἆρά γε τὴν αὐτὴν ἔχεις γνώμην; ΑΛΚ. Πῶς λέγεις; ΣΩΚ. Δοκεῖ σοι οἷόν τε εἶναι ἢ φρόνιμον, ἢ ἄφρονα; ἢ ἐστι τι διὰ μέσου τρίτον πάθος, ὃ ἐποίει τὸν ἄνθρωπον μήτε φρόνιμον, μήτε

trarium eſt ei quod eſt, Prudentem eſſe? ALC. Prorſus. SOC. Num ex hominibus alii prudentes eſſe, alii imprudentes videntur? ALC. Videntur ſane.

2. SOC. Age itaque, conſideremus quinam iſti ſunt. Eſſe enim alios quidem imprudentes, alios vero prudentes, inſanos alios etiam jam convenit. ALC. Convenit. SOC. Præterea bene valentes aliqui ſunt. ALC. Sunt. SOC. Ægrotantes alii. ALC. Omnino. SOC. Non ergo iidem ſunt. ALC. Non certe. SOC. Suntne alii quidam, qui neutrum iſtorum patiuntur? ALC. Nequaquam. SOC. Neceſſe eſt enim hominem ægrotare vel non ægrotare. ALC. Videtur. SOC. De prudentia vero & imprudentia idem judicas? ALC. Quomodo dicis? SOC. Hominem aut prudentem aut imprudentem eſſe oportere putas? an vero tertia quædam eſt affectio intermedia, per

ἄφρονα; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Ἀνάγκη ἄρα ἐστὶ τὸ ἕτερον τούτων πεπονθέναι. ΑΛΚ. Ἔμοιγε δοκεῖ. ΣΩΚ. Οὐκοῦν μέμνησαι ὁμολογήσας τὴν ἐναντίον εἶναι μανίαν φρονήσει; ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Οὐκοῦν καὶ μηδὲν εἶναι διαμέσου τρίτον πάθος, ὃ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον, μήτε ἄφρονα εἶναι; ΑΛΚ. Ὡμολόγησα γάρ. ΣΩΚ. Καὶ μὴν δύο γε τἀναντία ἑνὶ πράγματι πῶς ἂν εἴη; ΑΛΚ. Οὐδαμῶς. ΣΩΚ. Ἀφροσύνη ἄρα καὶ μανία κινδυνεύει ταυτὸν εἶναι. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Πάντας οὖν ἂν φάντες, ὦ Ἀλκιβιάδη, τοὺς ἄφρονας μαίνεσθαι, ὀρθῶς ἂν φαίημεν; ΑΛΚ. Ναί. ΣΩΚ. Αὐτίκα τῶν σῶν ἡλικιωτῶν, εἴ τινες τυγχάνουσιν ἄφρονες ὄντες, ὥσπερ εἰσί, καὶ τῶν ἔτι πρεσβυτέρων. ἐπεὶ φέρε πρὸς Διός, οὐκ οἴει τῶν ἐν τῇ πόλει ὀλίγους μὲν εἶναι τοὺς φρονίμους, ἄφρονας δὲ τοὺς πολλούς, οὓς δὴ σὺ μαινομένους καλεῖς; ΑΛΚ. Ἔγωγε.

quam nec prudens nec imprudens ſit? ALC. Nulla profecto. SOC. Neceſſe eſt igitur alterutro modo affici? ALC. Apparet. SOC. Recordaris conceſſiſſe te inſaniam prudentiæ contrariam eſſe? ALC. Equidem. SOC. Et mediam nullam eſſe tertiam affectionem, quæ hominem nec prudentem nec imprudentem efficiat? ALC. Conſenſi quidem. SOC. Quinetiam duo eſſe idem contraria quo pacto poſſunt? ALC. Nullo. SOC. Imprudentia igitur atque inſania idem eſſe videntur. ALC. Videntur. SOC. Si ergo omnes imprudentes inſanire dixerimus, recte dicemus. ALC. Sane. SOC. Et etiam ex tuis æqualibus, necnon ætate majoribus, ſi qui ſunt imprudentes (uti revera ſunt) eos inſanos eſſe. Nonne enim putas perpaucos eſſe in hac urbe prudentes, imprudentes plurimos, quos inſanos appellas? ALC. Equidem.

γʹ. ΣΩΚ. Οἴῃ ἂν οὖν χαίροντας ἡμᾶς εἶναι μετὰ τοσούτων μαινομένων πολιτευομένους, καὶ οὐκ ἂν παιομένους καὶ βαλλομένους, καὶ, ἅπερ εἰώθασιν οἱ μαινόμενοι διαπράττεσθαι, πάλαι δίκην δεδωκέναι; ἀλλ' ὅρα, ὦ μακάριε, μὴ οὐχ οὕτω ταῦτ' ἔχει. ΑΛΚ. Πῶς ἂν οὖν ποτ' ἔχοι, ὦ Σώκρατες; κινδυνεύει γὰρ οὐχ οὕτως ἔχειν, ὥσπερ ᾠήθην. ΣΩΚ. Οὐδ' ἐμοὶ δοκεῖ. ἀλλὰ τῇδέ πῃ ἀθρητέον. ΑΛΚ. Πῇ ποτε λέγεις; ΣΩΚ. Εγὼ δή σοι γε ἐρῶ. ὑπολαμβάνομέν γε τινας εἶναι νοσοῦντας, ἢ οὔ; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Αρ' οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι τὸν νοσοῦντα ποδαγρᾶν, ἢ πυρέττειν, ἢ ὀφθαλμιᾶν; ἢ οὐκ ἂν δοκῇ σοι καὶ μηδὲν τούτων πεπονθὼς, ἑτέραν νόσον; πολλαὶ γὰρ δήπου γε εἰσὶ, καὶ οὐχ αὗται μόναι. ΑΛΚ. Εμοιγε δοκοῦσιν. ΣΩΚ. Οφθαλμία οὖν σοὶ δοκεῖ πᾶσα, νόσος εἶναι; ΑΛΚ. Ναί. ΣΩΚ. Αρ' οὖν καὶ πᾶσα νόσος ὀφθαλμία; ΑΛΚ.

3. SOC. An censes nos tutos inter hos insanos versari potuisse, nec potius ab eis percussos fore, ac verberatos, & quæcunque furiosi facere solent passuros, & jamdudum pœnas daturos? Sed vide, O beate, ne aliter se res habeat. ALC. Quo pacto se habet, O Socrates? Apparet enim non ita esse ut putavi. SOC. Non certe ut mihi videtur; sed hoc fortasse pacto cogitandum est. ALC. Quonam; SOC. Dicam tibi. Ponimus aliquos ægrotantes esse, necne? ALC. Omnino quidem. SOC. Nunquid necessarium opinaris omnem ægrotum cruciari prodagra, vel febri vel lippitudine? An, etiamsi nihil istiusmodi patiatur, nonne putas posse eum aliis morbis affici? multæ enim sunt morborum species præter istas. ALC. Sic mihi videtur. SOC. Num omnis lippitudo morbus tibi videtur? ALC. Mihi certe. SOC. Et omnis morbus etiam lippitudo? ALC.

Οὐ δῆτα ἔμοιγε· ἀπορῶ μέντοι γε πῶς λέγω. ΣΩΚ. Ἀλλ' ἐὰν ἔμοιγε προσέχῃς τὸν νοῦν, σύν τε δύο σκεπτομένω σχεδὸν εὑρήσομεν. ΑΛΚ. Ἀλλὰ προσέχω, ὦ Σώκρατες, εἰς δύναμιν τὴν ἐμήν. ΣΩΚ. Οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν πᾶσα νόσος εἶναι, νόσος μέντοι οὐκ εἶναι πᾶσα ὀφθαλμία; ΑΛΚ. Ὡμολογήθη. ΣΩΚ. Καὶ ὀρθῶς γέ μοι δοκεῖ ὁμολογηθῆναι. καὶ γὰρ οἱ πυρέττοντες πάντες νοσοῦσιν, οὐ μέντοι οἱ νοσοῦντες πάντες πυρέττουσιν, οὐδὲ ποδαγρῶσιν, οὐδέ γε ὀφθαλμιῶσιν οἶμαι· ἀλλὰ νόσος μὲν πᾶν τὸ τοιοῦτόν ἐστι, διαφέρειν δέ φασιν, οὓς δὴ καλοῦμεν ἰατροὺς, τὴν ἀπεργασίαν αὐτῶν. οὐ γὰρ πᾶσαι οὔτε ὅμοιαι, οὔτε ὁμοίως διαπράττονται, ἀλλὰ κατὰ τὴν αὑτῆς δύναμιν ἑκάστη, νόσοι μέντοι πᾶσαί εἰσιν, ὥσπερ δημιουργούς τινας ὑπολαμβάνομεν. ἢ οὔ; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Οὐκοῦν τοὺς σκυτοτόμους καὶ τέκτο-

Non mihi quidem; neſcio tamen quid afferam. SOC. Sed ſi dicenti mihi mentem adhibeas, & ambo ſimul inveſtigemus, fere quod volumus conſequemur. ALC. At adhibeo quam maxime poſſum, mi Socrates. SOC. Nonne convenit inter nos lippitudinem omnem eſſe morbum, non omnem tamen morbum lippitudinem eſſe? ALC. Convenit. SOC. Et recte quidem conſenſiſſe videmur. Etenim febricitantes ægrotant omnes, non tamen quicunque ægrotant etiam febricitant, vel podagra aut lippitudine afficiuntur. Sed omne quidem hujuſmodi communiter morbus eſt: at ii quos Medicos appellamus, differre dicunt illorum curationem: non enim omnes aut ſimiles ſunt aut ſimiliter pertractantur, verum ſecundum vim propriam ſinguli, morbi tamen ſunt omnes. Quemadmodum opifices aliquos eſſe ponimus; nonne? ALC. Prorſus. SOC. Et cerdones &

νας, καὶ ἀνδριαντοποιούς, καὶ ἑτέρους παμπλήθεις, οὓς τί δεῖ καθέκαστα λέγειν; ἔχουσι δ' οὖν διειληφότες δημιουργίας μέρη, καὶ πάντες οὗτοί εἰσι δημιουργοί, οὐ μέντοι εἰσὶ τέκτονές γε, οὐδὲ σκυτοτόμοι, οὐδὲ ἀνδριαντοποιοί, οἱ σύμπαντές εἰσι δημιουργοί. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὕτω μὲν οὖν καὶ τὴν ἀφροσύνην διειληφότες εἰσὶ, καὶ τοὺς μὲν πλεῖστον μέρος αὐτῆς ἔχοντας, μαινομένους καλοῦμεν· τοὺς δ' ὀλίγον ἔλαττον, ἠλιθίους τε καὶ ἐμβροντήτους. οἱ δὲ ἐν εὐφημοτάτοις ὀνόμασι βουλόμενοι κατονομάζειν, οἱ μὲν μεγαλοψύχους, οἱ δὲ εὐήθεις, ἕτεροι δὲ ἀκάκους, καὶ ἐννεούς. εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ ἀναζητῶν ὀνόματα. πάντα δὲ ταῦτα ἀφροσύνη ἐστί· διαφέρει δὲ ὥσπερ τέχνη τέχνης ἡμῖν κατεφαίνετο, καὶ νόσος νόσου. ἢ πῶς σοι δοκεῖ; ΑΛΚ. Ἐμοὶ μὲν οὕτω.

δ'. ΣΩΚ. Οὐκοῦν ἀπ' ἐκείνου πάλιν ἐπανέλθωμεν. ἦν

fabros ſculptoreſq; & quamplumos alios, quos referre ſingulos nihil opus eſt: partes itaque opificii diſcretas habent; ac omnes quidem opifices ſunt, non tamen fabri omnes, neque coriarii, neque ſculptores, at cuncti generatim opifices. ALC. Sic eſt. SOC. Eadem quoque ratione imprudentiam inter ſe *quam plurimi* partiuntur, & qui majorem ſortiuntur imprudentiæ partem, inſani furenteſque vocantur; qui vero aliquanto minorem, ſtolidi atque veſani. Qui autem honeſtioribus vocabulis eos ſignificare volunt, partim quidem magnanimos appellant, partim ſimplices: quidam innocuos, & inexpertos, & fatuos: invenies quoque, ſi inquiras, alia multa nomina, quibus omnibus imprudentia ſignificatur. Diſcrepant autem ut diſcrepare comperta eſt ars ab arte, & a morbo morbus. Tibi vero quid videtur? ALC. Id ipſum.

4. SOC. Sed ut redeamus unde digreſſi ſumus; propoſitum fuit in diſputationis exor-

γὰρ δή που ἐν ἀρχῇ τοῦ λόγου, σκεπτέον εἶναι σοῦ ἄφρονάς τε καὶ φρονίμους, τίνες ποτ' εἰσίν. ὡμολόγητο γὰρ εἶναί τινας. ἢ γὰρ οὔ; ΑΛΚ. Ναί, ὡμολόγηται. ΣΩΚ. Ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἂν εἰδῶσιν ἅττα δεῖ πράττειν καὶ λέγειν; ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μηδ' ἕτερα τούτων εἰδότας; ΑΛΚ. Τούτους. ΣΩΚ. Οὐκοῦν οἵ γε μὴ εἰδότες μηδ' ἕτερα τούτων, λήσουσιν αὑτούς, καὶ λέγοντας καὶ πράττοντας ἅττα μὴ δεῖ. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Τούτων μέντοι ἔλεγον, ὦ Ἀλκιβιάδη, καὶ τὸν Οἰδίπουν εἶναι τῶν ἀνθρώπων. εὑρήσεις δὲ καὶ τῶν νῦν ἔτι πολλούς, οὐκ ὀργῇ κεχρημένους, ὥσπερ ἐκεῖνον, οὐδ' οἰομένους κακὰ σφίσιν εὔχεσθαι, ἀλλ' ἀγαθά. ἐκεῖνος μὲν ὥσπερ οὐδ' ηὔχετο, οὐδ' ᾤετο· ἕτεροι δέ τινές εἰσιν οἳ τἀναντία τούτων πεπόνθασιν. ἐγὼ μὲν γὰρ οἶμαί σε, εἴ σοι ἐμφανὴς γενόμενος ὁ θεός, πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοι τύραννον γενέσθαι τῆς Ἀθη-

dio, qui prudentes quive imprudentes essent inquirendum esse. Concessimus enim tales aliquos esse; nonne? ALC. Concessimus. SOC. Num prudentes existimas eos quicunque agenda cognoscunt? ALC. Equidem. SOC. Imprudentes autem quos? num eos qui neutra sciunt? ALC. Eos ipsos. SOC. Nonne qui utraque hæc ignorant, seipsos latebunt agentes & loquentes quæ non oportet? ALC. Apparet. SOC. Ex his hominibus unum, O Alcibiades, etiam OEdipum esse dicebam. Reperies etiam multos ex iis qui nunc vivunt, non iratos, ut ille fuit, nec mala, sed bona potius, precari sibi se putantes. Ille siquidem ut non precatus est, ita nec putabat se precari bona: sunt vero nonnulli alii, qui contrario ab illis modo affecti sunt. Reor etenim te imprimis, si forte Deus ille, ad quem exorandum accedis, sese oculis tuis exhibens, te, priusquam aliquid obsecrares, inter-

ναίων πόλεως, εἰ δὲ τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τι, προσθείη καὶ πάντων τῶν Ἑλλήνων· εἰ δέ σε ὁρῴη ἔτι ἔλαττον δοκοῦντα ἔχειν, εἰ μὴ καὶ πάσης Εὐρώπης ὑποσταίη σοι, καὶ τοῦτο μὴ μόνον ὑποσταίη, αὐθημερὸν σοῦ βουλομένου ὡς πάντας αἰσθέσθαι ὅτι Ἀλκιβιάδης ὁ Κλεινίου τύραννός ἐστιν, αὐτὸν οἶμαι ἄν σε ἀπιέναι περιχαρῆ γενόμενον, ὡς τῶν μεγίστων ἀγαθῶν κεκυρηκότα. ΑΛΚ. Ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, κἂν ἄλλον ὁντινοῦν, εἴπερ τοιαῦτα συμβαίη αὐτῷ. ΣΩΚ. Ἀλλὰ μέντοι, ἀντί γε τῆς σῆς ψυχῆς οὐδ' ἂν τὴν πάντων Ἑλλήνων καὶ βαρβάρων χώραν τε καὶ τυραννίδα βουληθείης σοι γενέσθαι. ΑΛΚ. Οὐκ οἴομαι ἔγωγε· πῶς γὰρ ἄν, μηδέν γέ τι μέλλων αὐτοῖς χρῆσθαι; ΣΩΚ. Τί δ' εἰ [1] μέλλεις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι; οὐδ' ἂν οὕτως; ΑΛΚ. Οὐ δῆτα.

έ. ΣΩΚ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλὲς, οὔτε τὰ διδόμενα

rogaret, satisne tibi sit Atheniensium dominatu potiri; quod si hoc vile & exiguum quiddam æstimares, adderet & Græcorum omnium: & si viderit te neque istis etiam acquiescere, nisi totius etiam Europæ adjiciat, neque id tantum adjiciat, sed cupienti tibi ut uno eodemque die sentirent omnes Alcibiadem Cliniæ filium tyrannide potiri, gratificaretur; reor ab eo te ingenti cum lætitia rediturum, ac si maxima bona esses consecutus. ALC. Arbitror, O Socrates, & quemcunque alium, quisquis eandem sortem assequeretur. SOC. Vitam vero tuam, neque cum Græcorum omnium nec barbarorum regione & imperio commutares. ALC. Non, ut opinor; quorsum enim, siquidem nullo modo iis usurus essem? SOC. Quid si usurus quidem sis, male tamen & proprio cum damno? Neque sic quidem? ALC. Non profecto.

5. SOC. Cernis ergo tutum non esse, nec quæ offeruntur temere accipere, nec

1 F. μέλλοις, κακῶς δὲ &c.

εἰκῆ δέχεσθαί σε, οὔτε αὐτὸν εὔχεσθαι γενέσθαι, εἴ γέ τις βλάπτεσθαι μέλλοι διὰ ταῦτα, ἢ τοπαράπαν τοῦ βίου ἀπαλλαγῆναι. πολλοὺς δ' ἂν ἔχοιμεν εἰπεῖν, ὅσοι τυραννίδος ἐπιθυμήσαντες ἤδη καὶ σπουδάσαντες τοῦτ' αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πράξοντες, διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον ἀφῃρέθησαν. οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθιζά τε καὶ πρωϊζὰ γεγενημένα, ὅτε Ἀρχέλαον τὸν Μακεδόνων τύραννον τὰ παιδικά, ἐρασθέντα τῆς τυραννίδος οὐδὲν ἧττον ἤπερ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐραστήν, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος· κατασχὼν δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ' ἑτέρων τινῶν ἐτελεύτησεν. ὁρᾷς δὴ καὶ τῶν ἡμετέρων πολιτῶν (ταῦτα γὰρ οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ' αὐτοὶ παρόντες οἴδαμεν) ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη καὶ τυχόντες αὐτῆς, οἳ μὲν ἔτι καὶ νῦν φυγάδες τῆσδε τῆς πόλεώς εἰσιν, οἳ δὲ τὸν βίον ἐτελεύτη-

ipſum optare ut eveniant, ſi quis propterea incommoda ſubiturus ſit, vel vitam protinus amiſſurus. Multos autem proferre poſſemus, qui cum tyrannidem affectaſſent, dumque illa potirentur ardenti ſtudio contendiſſent, utpote bonum aliquid adepturi, propter tyrannidem circumventi inſidiis perierunt. Puto etiam audiviſſe te nonnulla heri ac nudiuſtertius geſta, cum Archelaum Macedonum tyrannum Amaſius ejus, qui tyrannidem non minus affectaret quam ipſe amaſium, interfecit, amatorem licet, quaſi tyrannus mox beatuſque futurus: cum vero triduum aut quatriduum tyrannide potitus eſſet, rurſus ab aliis ex aliorum inſidiis & ipſe oppreſſus periit. Video inſuper ex noſtris civibus (ut referamus quæ non ex auditu percepimus, ſed ipſi nos præſentes inſpeximus) quicunque præfecturam exercitus affectantes nacti illam ſunt, alios etiamnum exulare, alios morte dam-

σαν· οἱ δὲ ἄριστα δοκοῦντες αὐτῶν πράττειν, διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων, οὐ μόνον ἐν ταύτῃ τῇ στρατηγίᾳ, ἀλλ᾽ ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλθον, ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν, οὐδὲν ἐλάττω τῆς ὑπὸ τῶν πολεμίων, διετέλεσαν, ὥστε ἐνίους αὐτῶν εὔχεσθαι ἀστρατηγήτους εἶναι μᾶλλον ἢ ἐστρατηγηκέναι. εἰ μὲν οὖν ἦσαν οἱ κίνδυνοί τε καὶ πόνοι φέροντες εἰς ὠφέλειαν, εἶχεν ἄν τινα λόγον, νῦν δὲ καὶ πολὺ τοὐναντίον. εὑρήσεις δὲ καὶ περὶ τέκνων τὸν αὐτὸν τρόπον εὐξαμένους τινὰς ἤδη γενέσθαι, καὶ γενομένων εἰς ξυμφοράς τε καὶ λύπας τὰς μεγίστας καταστάντας. οἱ μὲν γὰρ, μοχθηρῶν διατελεῖς ὄντων τῶν τέκνων, ὅλον τὸν βίον λυπούμενοι διήγαγον· τοὺς δὲ, χρηστῶν μὲν γενομένων, συμφοραῖς δὲ χρησαμένων ὥστε στερηθῆναι, καὶ τούτους οὐδὲν εἰς ἐλάττονας δυστυχίας καθεστηκότας ἤπερ ἐκείνους, καὶ βουλομένους ἂν ἀγέννητα μᾶλλον εἶναι

natos eſſe. Qui autem, multis periculis & timoribus elapſi, rem optime geſſiſſe viſi ſunt, non modo in ipſo exercitu, verum etiam poſtquam in patriam ſuam redierunt, non minori calumniatorum quam hoſtium obſidione perpetuo oppreſſi ſunt: adeo ut nonnulli illorum optaverint, ſe privatos vixiſſe potius quam cum imperio. Quod ſi pericula & labores hujuſmodi aliquam nobis utilitatem afferrent, hoc eſſet fortaſſe operæ pretium; nunc vero longe aliter ſe res habet. Invenies præterea eodem pacto nonnullos homines, qui filios votis exoptarint; at cum adepti eſſent, in calamitates doloreſque maximos inciderint. Nam plerique, cum liberi per omnem ætatem improbi perſeverarent, univerſam vitam in mœrore conſumſerunt; qui vero probos filios nacti adverſo quodam caſu illis orbati eſſent, nihilo minus quam ſuperiores illos miſeros fuiſſe *invenies*; adeo ut

ἢ γενέσθαι. ἀλλ' ὅμως τούτων τε καὶ ἑτέρων πολλῶν ὁμοιοτρόπων τούτοις οὕτω σφόδρα καταδήλων ὄντων, σπάνιον εὑρεῖν ὅστις ἂν ἢ διδομένων ἀπόσχοιτο, ἢ μέλλων δι' εὐχῆς τεύξεσθαι, παύσαιτο ἂν εὐχόμενος. οἱ δὲ πολλοὶ οὔτε ἂν τυραννίδος διδομένης ἀπόσχοιντο ἄν, οὔτε στρατηγίας, οὐδ' ἑτέρων πολλῶν ἃ παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ, ἀλλὰ κἂν εὔξαιντο ἂν γενέσθαι, εἴ τῳ μὴ παρόντα τυγχάνει· ὀλίγον δὲ ἐπισχόντες ἐνίοτε παλινῳδοῦσιν, ἀνευχόμενοι ἅττ' ἂν τοπρῶτον εὔξωνται. ἐγὼ μὲν οὖν ἀπορῶ, μὴ ὡς ἀληθῶς μάτην θεοὺς ἄνθρωποι αἰτιῶνται, ἐξ ἐκείνων φάμενοι κακὰ σφίσιν εἶναι· οἱ δὲ, καὶ αὐτοὶ σφῇσιν εἴτε ἀτασθαλίαισιν, εἴτε ἀφροσύναις χρὴ εἰπεῖν,

Ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

κινδυνεύει γ' ἄν, ὦ Ἀλκιβιάδη, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητὴς, ὃς δοκεῖ μοι, φίλοις ἀνοήτοις τισὶ χρησάμενος, ὁρῶν αὐτοὺς καὶ πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν,

optarint nunquam ſe filios genuiſſe. Et nihilominus, quamvis hæc atque alia multa hujuſmodi tantopere manifeſta ſunt, raro tamen invenietur qui vel a datis abſtineret, vel, ſi orando imperaturus eſſet, votum omitteret. Permulti etiam neque ab oblata tyrannide, neque ab exercitus imperio, neque ab aliis innumeris, (quæ cum poſſidentur lædunt, potius quam proſunt) abſtinerent; quin potius orarent ſibi illa concedi ſi cui non adſint. Interdum autem breve poſt tempus præterita vota damnant, ea deprecantes quæ initio precati ſunt. Quamobrem vereor, ne homines temere deos incuſent, quaſi mala ab iis inferantur: cum tamen ipſi, ſeu protervitate ſua ſive inſipientia,

Dolores ſupra modum habent.

Quare vir prudens eſſe videtur poeta ille qui, ut mihi videtur, cum amicos inſipientes haberet, dum eos videret & agentes & orantes quæ illis minime conducebant, cum tamen *con-*

ἐκείνοις δὲ ἔδοξε, κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι. λέγει δέ πως ὡδί·

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ [φησὶ] καὶ εὐχομένοις
καὶ ἀνεύκτοις

Ἄμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν κελεύει. Ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέγειν ὁ ποιητής· σὺ δ' εἴ τι ἐν νῷ ἔχεις πρὸς ταῦτα, μὴ σιώπα.

ϛʹ. ΑΛΚ. Χαλεπόν, ὦ Σώκρατες, ἐστὶν ἀντιλέγειν πρὸς τὰ καλῶς εἰρημένα. ἐκεῖνο δ' οὖν ἐννοῶ, ὅσων κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις, ὁπότε ὡς ἔοικε λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύτην καὶ πράττοντες καί, τό γε ἔσχατον, εὐχόμενοι ἡμῖν αὐτοῖς τὰ κάκιστα. ὅπερ οὖν οὐδεὶς οἰηθείη· ἀλλὰ τοῦτό γε πᾶς ἂν οἴοιτο, ἱκανὸς εἶναι αὐτὸς αὑτῷ τὰ βέλτιστα εὔξασθαι, ἀλλ' οὐ τὰ κάκιστα. τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κατάρᾳ τινί, ἀλλ' οὐκ εὐχῇ, ὅμοιον ἂν εἴη. ΣΩΚ. Ἀλλ'

ducere viderentur, pro iis omnibus precatus eſt. Loquitur autem hoc modo;

Jupiter rex, [ait] *optima quidem & voventibus, & non voventibus,*

Nobis tribue, mala autem etiam petentibus avertere

rogat. Recte igitur & caute loqui poeta mihi videtur; tu vero ſi quid habes in animo *quod* adverſus hæc *proferas*, ne ſileto.

6. ALC. Difficile eſt, O Socrates, iis quæ bene dicta ſunt contradicere. Illud autem cogito, quantorum malorum cauſa ſit hominibus ignorantia: quandoquidem, ut videtur, propter hanc inſcienter & facimus &, quod deterrimum eſt, peſſima nobiſmetipſis precamur: quod quidem nemo putaret; quin potius illud quilibet opinaretur, poſſe videlicet ſe ſibi ipſi non peſſima ſed optima petere: hoc enim revera execrationi cuidam, non voto, ſimile eſſet. SOC. At

ἴσως, ὦ βέλτιστε, φαίη ἄν τις ἀνήρ, ὃς ἐμοῦ τε καὶ σοῦ σοφώτερος ὢν τυγχάνει, οὐκ ὀρθῶς ἡμᾶς λέγειν, οὕτως εἰκῇ ψέγοντας ἄγνοιαν, εἴγε μὴ προσθείημεν τὴν ἔστιν ὧν τε ἄγνοιαν· καὶ ἔστιν οἷς, καὶ ἔχουσί πως, ἀγαθόν, ὥσπερ ἐκείνοις κακόν. ΑΛΚ. Πῶς λέγεις; ἔστι γὰρ ὁπουοῦν πρᾶγμα ὅτῳ δὴ ὁπωσοῦν ἔχοντι ἄμεινον ἀγνοεῖν, ἢ γινώσκειν; ΣΩΚ. Ἔμοιγε δοκεῖ· σοὶ δ' οὔ; ΑΛΚ. Οὐ μέν τοι μὰ Δία. ΣΩΚ. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο σου καταγνώσομαι, ἐθέλειν ἄν σε πρὸς τὴν ἑαυτοῦ μητέρα διαπεπρᾶχθαι, ἅπερ Ὀρέστην φασὶ καὶ τὸν Ἀλκμαίωνα, καὶ εἰ δή τινες ἄλλοι ἐκείνοις τυγχάνουσι ταὐτὰ διαπεπραγμένοι. ΑΛΚ. Εὐφήμει πρὸς Διός, ὦ Σώκρατες. ΣΩΚ. Οὔτοι τὸν λέγοντα, ὦ Ἀλκιβιάδη, ὡς οὐκ ἂν ἐθέλοις σοι ταῦτα πεπρᾶχθαι, εὐφημεῖν δεῖ σε κελεύειν, ἀλλὰ μᾶλλον πολὺ εἴ τις τἀναντία λέγοι, ἐπειδὴ οὕτω σοι δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα, ὥστ' οὐδὲ ῥητέον εἶναι οὕτως

forte, vir optime, diceret quispiam te simul & me sapientior, haud satis recte nos loqui, dum sic temere ignorantiam vituperamus; nisi hoc adjiciamus, nimirum quorum ignorantia sit: quibusdam namque certo modo affectis bonum forte esse ignorantiam, quemadmodum aliis malum. ALC. Quid ais? Estne quicquam, quod alicui, quomodocunque se habenti, ignorare aliquando præstet quam cognoscere? SOC. Mihi sane videtur; nonne & tibi? ALC. Non per Jovem. SOC. Enimvero nec tibi hoc imputaverim, velle te adversus matrem patrare, quod Orestem, & Alcmæona, & si qui alii eadem perpetraverint, commisisse ferunt. ALC. Bene ominare per Jovem, O Socrates. OSC. Non te decet, O Alcibiades, eum, qui inquit te nolle ista fecisse, jubere ut bene ominetur, sed multo potius si quis contraria diceret, siquidem facinus tam horrendum tibi videtur, ut ne

εἰκῆ. δοκῆς δ' ἂν τὸν Ορέστην, εἰ ἐτύγχανε φρόνιμος ὢν καὶ εἰδὼς ὅ, τι βέλτιστον ἦν αὐτῷ πράττειν, τολμῆσαι ἄν τι τούτων διαπράξασθαι; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐδέ γε ἄλλον, οἶμαι, οὐδένα. ΑΛΚ. Οὐ μέντοι. ΣΩΚ. Κακὸν ἄρα (ὡς ἔοικεν) ἐστὶν ἡ τοῦ βελτίστου ἄγνοια· καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον. ΑΛΚ. Εμοιγε δοκεῖ. ΣΩΚ. Οὐκοῦν καὶ ἐκείνῳ καὶ τοῖς ἄλλοις ἅπασι; ΑΛΚ. φημί.

ζ. ΣΩΚ. Ετι τοίνυν καὶ τόδε ἐπισκεψώμεθα. εἴ σοι αὐτίκα μάλα παραστάιη, οἰηθέντι βέλτιον εἶναι, Περικλέα τὸν σεαυτοῦ ἐπίτροπόν τε καὶ φίλον, ἐγχειρίδιον λαβόντα, ἐλθόντα ἐπὶ τὰς θύρας εἰπεῖν εἰ ἔνδον ἐστί, βουλόμενον ἀποκτεῖναι αὐτὸν ἐκεῖνον, ἄλλον δὲ μηδένα, οἱ δὲ φαῖεν ἔνδον εἶναι· (καὶ οὐ λέγω ἐθέλειν ἄν σε τούτων τι πράττειν, ἀλλ' εἰ, οἶμαι, δόξει σοι ὅπερ οὐδὲν κωλύει δήπου τῷ γε ἀγνοοῦντι τὸ

pronunciari quidem facile debeat. Putasne autem Orestem, si prudens fuisset, & quid factu sibi honestissimum esset novisset, scelus tantum ausurum fuisse? ALC. Non certe. SOC. Neque alium, ut arbitror, ullum. ALC. Nullum. SOC. Malum est igitur, ut videtur, ignorantia optimi, & quod optimum est ignorare. ALC. Mihi sane videtur. SOC. Nonne & illi & ceteris omnibus?

7. ALC. Fateor. SOC. Consideremus præterea & hoc; si in mentem tibi subito venerit, melius id esse putanti, Periclem tutorem atque amicum tuum interficere, ac sumpto gladio ad fores illius properans interrogares num intus esset, volens illum duntaxat, nec alium quenquam, occidere, domestici autem illum intus esse responderent: (neque dico te quicquam hujusmodi conari velle; sed si ea tibi subeat opinio, quod quidem nihil prohibet, ignoranti quid sit opti-

βέλτιστον, παραστῆναί ποτε δόξαν, ὥστε οἰηθῆναι καὶ τὸ κάκιστόν ποτε βέλτιστον εἶναι· ἢ οὐκ ἂν δοκῇ σοι; ΑΛΚ. Πάνυ μὲν οὖν. ΣΩΚ. Εἰ οὖν παρελθὼν εἴσω, καὶ ἰδὼν αὐτὸν ἐκεῖνον, ἀγνοήσαις τε καὶ οἰηθείης ἂν ἄλλον εἶναί τινα, ἆρ' ἔτι ἂν αὐτὸν τολμήσαις ἀποκτεῖναι; ΑΛΚ. Οὔ, μὰ τὸν Δία, οὐκ ἄν μοι δοκῶ. ΣΩΚ. Οὐ γὰρ δή που τὸν ἐντυχόντα, ἀλλ' αὐτὸν ἐκεῖνον ὃν ἠβούλου. ἦ γάρ; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν καὶ εἰ πολλάκις [1] ἐγχειρεῖς, αἰεὶ δὲ [2] ἀγνοεῖς τὸν Περικλέα, ὁπότε [3] μέλλεις τοῦτο πράττειν, ποτε ἂν ἐπίθοιο αὐτῷ. ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Τί δέ, τὸν Ὀρέστην δοκῆς ἄν ποτε τῇ μητρὶ ἐπιθέσθαι, εἴγε ὡσαύτως ἠγνόησεν; ΑΛΚ. Οὐκ οἶμαι ἔγωγε. ΣΩΚ. Οὐ γὰρ δή που οὐδ' ἐκεῖνος τὴν προστυχοῦσαν γυναῖκα, οὐδὲ τὴν ὁτουοῦν μητέρα διενοεῖτο ἀποκτεῖναι, ἀλλὰ τὴν αὐτὸς αὐτοῦ. ΑΛΚ. Ἔστι ταῦτα. ΣΩΚ. Ἀγνοεῖν ἄρα τάγε τοιαῦτα

mum, nimirum ut adsit interdum ea opinio, ut putes, quod est pessimum, nonnunquam optimum esse. Annon tibi videtur? ALC. Omnino quidem. SOC. Ergo si domum ingressus vidensque illum non tamen agnoscas, sed opineris alium esse, num ipsum interficeres? ALC. Non per Jovem, ut mihi videtur. SOC. Non enim quem sors offerret *interficeres*, sed quem statueras: nonne? ALC. Profecto. SOC. Ergo si frequenter coneris, semper autem ignorares Periclem esse, cum facinus aggrediare, unquam in eum irrueres? ALC. Nunquam. SOC. Orestem vero putas matri unquam manus illaturum fuisse, si eam pari modo ignorasset? ALC. Non arbitror. SOC. Neque enim ille quidem mulierem, quæcunque occurreret, nec cujuslibet matrem, sed suam duntaxat, necare decreverat. ALC. Sunt hæc vera. SOC. Itaque hominibus ita affectis atque in

1 F. ἐγχειροῖς — 2 F. ἀγνοοῖς — 3 F. μέλλοις. *Steph.*

βέλτιον τοῖς οὕτω διακειμένοις, καὶ τοιαύτας δόξας ἔχουσι. ΑΛΚ. Φαίνεται. ΣΩΚ. Ορᾷς οὖν ὅτι ἡ ἔστιν ὧν γε ἄγνοια, καὶ ἔστιν οἷς, καὶ ἔχουσί πως, ἀγαθόν, ἀλλ' οὐ κακόν, ὥσπερ ἄρτι σοι ἐδόκει; ΑΛΚ. Εοικεν.

η'. ΣΩΚ. Ετι τοίνυν εἰ βούλει τὸ μετὰ τοῦτο ἐπισκοπεῖν, ἄτοπον ὄν, ἴσως ἄν σοι δόξειεν εἶναι. ΑΛΚ. Τί μάλιστα, ὦ Σώκρατες; ΣΩΚ. Οτι, ὡς ἔπος εἰπεῖν, κινδυνεύει τό γε τῶν ἄλλων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τοῦ βελτίστου κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτά. σκόπει δὲ ὧδε. ἆρ' οὐκ ἀναγκαῖον σοὶ δοκεῖ εἶναι, ὅταν τι μέλλωμεν ἤτοι πράττειν ἢ λέγειν, οἰηθῆναι δεῖν πρότερον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι, τοῦτο, ὃ ἂν προχειροτέρως μέλλωμέν τι ἢ λέγειν ἢ πράττειν; ΑΛΚ. Εμοιγε δοκεῖ. ΣΩΚ. Οὐκοῦν οἱ ῥήτορες αὐτίκα, ἤτοι εἰδότες συμβουλεύειν, ἢ οἰηθέντες εἰδέναι, συμβου-

iiſdem opinionibus involutis, ignorare talia præſtat. ALC. Videtur. SOC. Vides jam quod certa quædam ignorantia certis hominibus certo quodam modo diſpoſitis bonum quoddam eſt, non autem, ut tibi videbatur, malum? ALC. Apparet.

8. SOC. Præterea ſi volueris, quod deinceps in medium afferetur, mirabile dictu, diſcutere, forte probabile tibi videbitur. ALC. Quid iſtud, O Socrates? SOC. Quod nempe videtur cæterarum omnium ſcientiarum poſſeſſio, niſi quis ſcientiam optimi ſimul nactus fuerit, raro quidem prodeſſe, obeſſe autem plerumque illi qui ſit hujuſmodi ſcientiis præditus: Sic autem conſidera; nonne neceſſarium tibi videtur, cum aliquid facturi vel dicturi ſimus, oportere nos prius vel putare nos id cognoſcere, vel revera cognoſcere, quod promptius agere & loqui debemus? ALC. Mihi plane videtur. SOC. Annon rhetores quod vel ſciunt conſulere, vel ſaltem ſcire ſe putant,

λεύουσιν ἡμῖν ἑκάστοτε; οἱ μὲν περὶ πολέμου τε καὶ εἰρήνης, οἱ δὲ περὶ τειχῶν οἰκοδομίας, ἢ καὶ λιμένων κατασκευῆς· ἑνὶ δὲ λόγῳ, ὅσα δή ποτε ἡ πόλις πράττει πρὸς ἄλλην πόλιν, ἢ αὐτὴ καθ' αὑτὴν, ἀπὸ τῆς τῶν ῥητόρων συμβουλῆς πάντα γίγνεται; ΑΛΚ. Ἀληθῆ λέγεις. ΣΩΚ. Ὅρα τοίνυν καὶ τὰ ἐπὶ τούτοις ἂν δυνηθῶ· καλεῖς γὰρ δή που φρονίμους τε καὶ ἄφρονας. ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Οὐκοῦν τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ' ὀλίγους φρονίμους. ΑΛΚ. Οὕτω. ΣΩΚ. Οὐκοῦν πρός τι ἀποβλέπων, ἀμφοτέρους; ΑΛΚ. Ναί. ΣΩΚ. Ἆρ' οὖν τὸν τοιοῦτο συμβουλεύειν εἰδότα, χωρὶς τοῦ πότερον βέλτιον, καὶ ὅτε βέλτιον, φρόνιμον καλεῖς; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Οὐδέ γε, οἶμαι, ὅστις τὸ πολεμεῖν αὐτὸ οἶδε, χωρὶς δὲ ὁπότε βέλτιον, καὶ τοσοῦτον χρόνον ὅσον βέλτιον. ἦ γάρ; ΑΛΚ. Ναί. ΣΩΚ. Οὐκοῦν, οὐδὲ εἴ τις τινὰ ἀποκτιννύναι οἶδεν, οὐδὲ χρήματα ἀφαιρεῖσθαι, καὶ φυγάδα ποιεῖν τῆς πατρίδος, χωρὶς δὲ ὁπότε βέλτιον,

conſulunt pro nobis paſſim, hi quidem de bello & pace, illi vero de mœnibus conſtruendis, vel de portubus muniendis; &, ut ſummatim dicam, quicquid ipſa civitas agit adverſus aliam civitatem, vel ſecum ipſa, rhetorum conſilio perficit. ALC. Vera narras. SOC. Vide & quæ ſequuntur, ſi *præſtare* potuerim. Vocas enim aliquos prudentes, imprudentes alios. ALC. Voco. SOC. Et multos quidem imprudentes, prudentes vero paucos. ALC. Profecto. SOC. Nonne ad aliquid reſpiciens utroſque *nuncupas?* ALC. Imo. SOC. An eum qui iſta conſulere norit, niſi ſciat docere utrum melius, & quando melius, prudentem dices? ALC. Nequaquam. SOC. Neque, ut arbitror, quicunque pugnare norit, ignoret tamen quando melius *ſit*, & quouſque melius *pugnare*. Sic eſt. SOC. Neque ſi quis quempiam interficere ſciat, & pecuniis ſpoliare, ac exulem a patria facere, niſi ſciat etiam,

καὶ ὅν τινα βέλτιον. ΑΛΚ. Οὐ μέντοι. ΣΩΚ. Ὅστις ἄρα τι τῶν τοιούτων οἶδεν, ἐὰν μὲν παρέπηται ἡ τοῦ βελτίστου ἐπιστήμη, (αὐτὴ δ᾽ ἦν ἡ αὐτὴ δή που ἥπερ καὶ ἡ τοῦ ὠφελίμου· ἦ γάρ; ΑΛΚ. Ναί.) ΣΩΚ. Φρόνιμόν γε αὐτὸν φήσομεν, καὶ ἀποχρῶντα ξύμβουλον καὶ αὐτὸν αὐτῷ καὶ τῇ πόλει· τὸν δὲ μὴ τοιοῦτα, τἀναντία τούτων. ἢ πῶς δοκεῖ; ΑΛΚ. Ἐμοὶ μὲν οὕτω. ΣΩΚ. Τί δ᾽, εἴ τις ἱππεύειν, ἢ τοξεύειν οἶδεν, ἢ αὖ παλαίειν, ἢ πυκτεύειν, ἤ τι τῆς ἄλλης ἀγωνίας, ἢ καὶ ἄλλο τι τῶν τοιούτων ὅσα τέχνῃ οἴδαμεν, τί καλεῖς, ὃς ἂν εἰδῇ τὸ κατὰ ταύτην τὴν τέχνην βέλτιον γιγνόμενον; ἆρ᾽ οὐ τὸν κατὰ τὴν ἱππικὴν, ἱππικόν; ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Τὸν δέ γε (οἶμαι) κατὰ τὴν πυκτικὴν, πυκτικόν; τὸν δὲ κατ᾽ αὐλητικὴν, αὐλητικόν; καὶ κατ᾽ ἄλλα δή που ἀνάλογον τούτοις, ἢ ἄλλως πῶς; ΑΛΚ. Οὔκ, ἀλλ᾽ οὕτω. ΣΩΚ. Δοκεῖ οὖν σοι ἀναγκαῖον εἶναι τὸν περὶ τούτων τι ἐπιστήμονα

quando, & quem, *ita afficere* melius ſit. ALC. Minime. SOC. Quicunque igitur horum aliquid noverit, modo adſit etiam ſcientia optimi; (hæc autem eadem ac ſcientia utilitatis: nonne? ALC. Etiam.) SOC. Hunc ipſum prudentem dicemus, & ſufficientem tum ſibi tum patriæ conſultorem; imprudentem vero, contra: quidnam tibi videtur? ALC. Idem & mihi. SOC. Quid autem ſi quis equitare aut ſagittare ſciat, vel palæſtram vel pugillariam, vel aliud quodcunque certamen, aut aliud quicquam eorum quæcunque per artem novimus, quo nomine appellas eum qui intelligit quid in ejuſmodi arte melius fiat? annon ſecundum equeſtrem artem, equitem; ſecundum pugillariam, pugilem; tibicinariam, tibicinem; atque in aliis eodem modo, an ſecus? ALC. Sic certe. SOC. Num tibi videtur, qui horum aliquid intelligit, vir prudens appellan-

ὄντα, ἄρα καὶ ἄνδρα φρόνιμον εἶναι, ἢ πολλοῦ φήσομεν ἐνδεῖν; ΑΛΚ. Πολλοῦ μέν τοι νὴ Δία.

θ'. ΣΩΚ. Ποίαν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε ἀγαθῶν, καὶ αὐλητῶν, ἔτι δὲ καὶ ἀθλητῶν τε καὶ τῶν ἄλλων τεχνιτῶν, ἀναμεμιγμένων δ' ἐν τοιούτοις οἷς ἄρτι εἰρήκαμεν τῶν τε αὐτὸ τὸ πολεμεῖν εἰδότων, καὶ αὐτὸ τὸ ἀποκτιννύναι· πρὸς δὲ, καὶ ἀνδρῶν πολιτικῶν πολιτικὸν φύσημα φυσώντων· ἁπάντων δὲ τούτων ὄντων ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης, καὶ τοῦ εἰδότος ὁπότε βέλτιον ἑνὶ ἑκάστῳ τούτων χρῆσθαι, καὶ πρὸς τίνα; ΑΛΚ. Φαύλην ἔγωγε, ὦ Σώκρατες. ΣΩΚ. Φαίης γε ἂν, οἶμαι, ὁπόταν ὁρῴης ἕνα ἕκαστον αὐτῶν φιλοτιμούμενόν τε καὶ νέμοντα τὸ πλεῖστον τῆς πολιτείας τούτῳ μέρος,

Ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν·

(λέγω δὲ τὸ κατ' αὐτὴν τὴν τέχνην βέλτιστον γιγνόμενον) τοῦ δὲ τῇ πόλει τε καὶ αὐτὸν αὑτῷ, βελτίστου ὄντος, τὰ πολλὰ

dus? an longe adhuc abesse *a prudentia*? ALC. Longe, per Jovem.

9. SOC. Qualem igitur civitatem eam esse putabis, quæ ex peritis sagittariis & tibicinibus, athletisque, ac cæteris artificibus constet, cum sint insuper his quos diximus admisti ii qui militarem callent artem, & qui ad interficiendum prompti sunt, necnon homines politici fastu politico inflati, desit autem his omnibus optimi scientia, & qui norit quando, & contra quem, unoquoque illorum uti præstat? ALC. Ignobilem, O Socrates. SOC. Maxime hoc, ut arbitror, diceres, si quando cerneres unumquemque illorum ambitiosum, & plurimas sibi reipublicæ partes ad hoc occupantem,

Ut continuo ipse se superet,

(intelligo autem *per optimum* illud quod in ipsa arte est optimum) in eo vero quod sibi & reipublicæ optimum est, crebro hallucinan-

διημαρτηκότα, ἅτε, οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότα. οὕτω δὲ τούτων ἐχόντων, ἆρ᾽ οὐκ ἂν ὀρθῶς λέγοιμεν, φάντες πολλῆς ταραχῆς τε καὶ ἀνομίας μεστὴν εἶναι τὴν τοιαύτην πολιτείαν; ΑΛΚ. Ὀρθῶς μέντοι νὴ Δία. ΣΩΚ. Οὐκοῦν ἀναγκαῖον ἐδόκει ἡμῖν εἶναι, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχείρως μέλλωμεν ἢ πράττειν ἢ λέγειν; ΑΛΚ. Ἐδόκει. ΣΩΚ. Οὐκοῦν κἂν μὲν πράττῃ ἅ τις οἶδεν, ἢ δοκεῖ εἰδέναι, παρέπεται δὴ τὸ ὠφελίμως καὶ λυσιτελούντως ἡμᾶς ἕξειν, καὶ τῇ πόλει καὶ αὐτὸν αὐτῷ; ΑΛΚ. Πῶς γὰρ οὔ; ΣΩΚ. Ἐὰν δέ γ᾽, οἶμαι, τἀναντία τούτων, οὔτε τῇ πόλει, οὔτ᾽ αὐτὸν αὐτῷ; ΑΛΚ. Οὐ δῆτα. ΣΩΚ. Τί δέ; νῦν ἔτι ὡσαύτως σοι δοκεῖ, ἢ ἄλλως πως; Οὐκ, ἀλλ᾽ οὕτω. ΣΩΚ. Ἆρ᾽ οὖν ἔφησθα καλεῖν τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ᾽ ὀλίγους φρονίμους; ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ βελτίστου, ὡς τὰ πολλά γε (οἶμαι) ἄνευ νοῦ δόξῃ πεπιστευ-

tem; quippe qui opinioni sine mente crediderit. Cum autem hæc ita se haberent, nonne recte diceremus hanc rempublicam tumultus quamplurimi & injustitiæ plenam esse? ALC. Recte per Jovem. SOC. Annon necessarium nobis visum fuerit, primum quidem putare nos cognoscere aut revera cognoscere hoc quod prompte facturi dicturive sumus? ALC. Visum est. SOC. Nonne si quis agit quidem quod novit, aut nosse se existimat, sequitur ut commode et utiliter agat & sibi & reipublicæ? ALC. Quidni? SOC. Si contra vero, ut opinor, nec reipublicæ, nec sibi? ALC. Ita est. SOC. Quid autem? num tibi adhuc ita videtur, an aliter? ALC. Non aliter. SOC. Dixistine ergo vocare te plures imprudentes, prudentes pauciores? ALC. Equidem. SOC. Dicimusne iterum plures ab eo quod est optimum aberrare, utpote qui opinioni absque mente, ut plurimum, consense-

κότας; ΑΛΚ. Φαμὲν γάρ. ΣΩΚ. Λυσιτελεῖ ἄρα τοῖς πολλοῖς μήτε εἰδέναι μηδὲν, μήτε οἴεσθαι εἰδέναι· εἴπερ γε μᾶλλον προθυμήσονται μὲν πράττειν ταῦτα ἅττ' ἂν εἰδῶσιν, ἢ οἰηθῶσιν εἰδέναι· πράττοντες δὲ, βλάπτεσθαι τὰ πλείω μᾶλλον ἢ ὠφελεῖσθαι; ΑΛΚ. Ἀληθέστατα λέγεις.

ί. ΣΩΚ. Ὁρᾷς οὖν ὅτε γ' ἔφην, κινδυνεύει τό γε τὴν ἄλλων ἐπιστημῶν κτῆμα ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό, ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαινόμην λέγων; ΑΛΚ. Καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩΚ. Δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν, τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι, ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι ἀτεχνῶς, ὥσπερ ἀσθενοῦντα ἰατροῦ, ἤ τινος κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν, ὅσῳπερ ἂν μὴ πρότερον ἐπουρίσῃ τὸ τῆς ψυχῆς. ἄνευ γὰρ ταύτης, ἢ περὶ χρημάτων κτῆσιν, ἢ σώματος ῥώμην, ἢ καὶ ἄλλο τι τῶν τοιούτων,

ferint? ALC. Diximus plane. SOC. Prodest igitur multis neque nosse quicquam, neque putare se noscere: siquidem promptiores erunt ad illa agenda, quæ vel cognoscunt vel cognoscere se opinantur; agentes autem, multo plus damni quam utilitatis sibi inferent? ALC. Verissima loqueris.

10. SOC. Cum ergo dicebamreliquas omnes scientias, si absit scientia optimi, obesse sæpius quam prodesse possidenti, num recte loqui tibi videbar? ALC. Etsi tunc minime, nunc saltem, O Socrates. SOC. Oportet itaque civitatem & animam quæ recte victura sit, hanc proculdubio amplecti scientiam; quemadmodum qui ægrotat, medicum; & qui sine periculo navigare velit, gubernatorem: siquidem antea vento minus prospero anima utetur. Nam sive hac scientia, quod attinet ad divitias, vel corporis robur, aut aliud quicquam istiusmodi, eo majora ex iis peccata com-

τοσούτῳ μείζω ἁμαρτήματα ἀπ' αὐτῆς ἀναγκαῖόν ἐστιν, ὡς ἔοικε, γίγνεσθαι. ὁ γὰρ δὴ τὴν καλουμένην πολυμάθειάν τε καὶ πολυτεχνίαν κεκτημένος, ὀρφανὸς δὲ ὢν ταύτης τῆς ἐπιστήμης, ἀγόμενος δὲ ὑπὸ μιᾶς ἑκάστης τῶν ἄλλων, ἆρ' οὐχὶ τῷ ὄντι δικαίως πολλῷ χειμῶνι χρήσεται; ἅτ' οἶμαι ἄνευ κυβερνήτου διατελῶν ἐν πελάγει, χρόνον οὐ μακρὸν [1] βίον θεῶν. ὥστε ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ ποιητοῦ, ὃ λέγει κατηγορῶν πού τινος, ὡς ἄρα πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δὲ (φησιν) ἠπίστατο πάντα. ΑΛΚ. Καὶ τί δή ποτε ξυμβαίνει τὸ τοῦ ποιητοῦ, ὦ Σώκρατες; ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς λόγον εἰρηκέναι. ΣΩΚ. Καὶ μάλα γε πρὸς λόγον. ἀλλ' αἰνίττεται, ὦ βέλτιστε, καὶ οὗτος, καὶ οἱ ἄλλοι δὲ ποιηταὶ σχεδόν τι πάντες. ἔστι τε φύσει ποιητικὴ ἡ σύμπασα αἰνιγματώδης, καὶ οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσαι. ἔτι δὲ, πρὸς τῷ φύσει τοιαύτη εἶναι, ὅταν λάβηται ἀνδρὸς φθονεροῦ τε καὶ μὴ βουλομένου ἡμῖν ἐνδείκνυσθαι, ἀλλ' ἀποκρύπτεσθαι ὅτι μάλιστα τὴν αὑτοῦ σοφίαν,

mitti necesse est. Qui vero multiplici scientia, ut vocatur, multisque artibus ornatus est, expers interim hujusce scientiæ, nonne, cum ductus sit a singulis aliis, merito multa tempestate jactabitur? quippe cum absque gubernatore oberret in pelago non longum vitæ cursum peracturus. Adeo ut hic etiam videtur illud poetæ dictum obtinere, quo quendam vituperans inquit, multa quidem noverat: sed male noverat omnia. ALC. At vero id poetæ dictum quorsum attinet, O Socrates? mihi enim nequaquam videtur proposito nostro congruere. SOC. Imo omnino congruerit; verum per ænigmata & hic & cæteri ferme omnes poetæ loquuntur; & est ipsa natura universa poesis ænigmatica, nec est cujusvis eam dignoscere. Ad hanc illius naturam accedit, quod si quando insit in homine invido, nec qui velit tam prompte sapientiam suam nobis ostendere quam eam retinere, mirum est

1 F. βίου θέων. *Steph.*

ὑπερφυῶς δὴ τὸ χρῆμα ὡς δύσγνωστον φαίνεται ὅ, τί ποτε νοοῦσιν ἕκαστος αὐτῶν. Οὐ γὰρ δή που Ὅμηρόν γε τὸν θειότατον ποιητὴν ἀγνοεῖν δοκεῖς, ὅτι οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς. ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν Μαργίτην Πολλὰ μὲν ἐπίστασθαι, κακῶς δὲ (φησι) πάντα ἐπίστασθαι. ἀλλ' αἰνίττεται, οἶμαι, παράγων τὸ Κακῶς μὲν, ἀντὶ τοῦ Κακοῦ· τὸ δὲ Ηπίστατο, ἀντὶ τοῦ Επίστασθαι. γίγνεται οὖν συντεθὲν ἔξω μὲν τοῦ μέτρου, ἔστι δὲ ὅ, τι βούλεται, Ως πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δὲ ἦν αὐτῷ ἐπίστασθαι ταῦτα πάντα. δῆλον οὖν ὅτι εἴπερ ἦν αὐτῷ κακὸν τὸ πολλὰ εἰδέναι, φαῦλός τις ὢν ἐτύγχανεν· εἴπερ γε πιστεύειν δεῖ τοῖς προειρημένοις λόγοις. ΑΛΚ. Ἀλλ' ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ἢ χαλεπῶς γ' ἂν ἄλλοις ποτὲ πιστεύσαιμι λόγοις, εἴπερ μηδὲ τούτοις. ΣΩΚ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ.

ια'. Ἀλλὰ φέρε πρὸς Διός· (ὁρᾷς γὰρ δή που τὴν ἀπορίαν, ὅση τε καὶ οἵα. ταύτης δέ μοι δοκεῖς καὶ σὺ κεκοινωνη-

quam difficile cognitu ſit quid quiſque eorum ſenſerit. Neque enim Homerum diviniſſimum *omnium* Poetam ignoraſſe putes, quod ſcire male impoſſibile ſit: ipſe enim eſt qui inquit Margitem Multa quidem ſcire, male autem ſcire omnia. Sed ænigmate ſenſum occultat, ut arbitror, Male pro Malum ponens, Scit autem pro Scire; unde conſtructio quædam extra carminis menſuram conficitur, ſenſum conſtituens hujuſmodi; Multa quidem ſcivit, ſed malum fuit illi hæc omnia ſcire. Patet igitur quod ſi erat illi malum multa ſcire, ipſe quoque malus erat; ſi qua fides ſupra dictis ſermonibus adhibenda ſit. ALC. Mihi certe videtur, O Socrates. Vix enim aliis quibuſlibet verbis crederem, niſi iis *credam*. SOC. Et recte quidem tibi videtur.

11. Sed age per Jovem; (vides enim in quas & quantas anguſtias redactus ſum, in quibus et tu ipſe verſari videris; ſurſum enim deorſumque jac-

κέναι, μεταβαλλόμενός γέ τοι ἄνω καὶ κάτω οὐδ' ὁπουοῦν παίῃ, ἀλλ' ὅπερ ἂν μάλιστά σοι δόξῃ, τοῦτο καὶ ἐκδεδυκέναι αὖ, καὶ οὐκέτι ὡσαύτως δοκεῖν·) [1]εἰ οὖν σοι γέ τι καὶ νῦν ἐμφανὴς γενόμενος ὁ θεὸς πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε πρὶν ὁπουοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοι ἐκείνων τι γενέσθαι, ὧνπερ καὶ ἐν ἀρχῇ ἐλέγετο, εἴτε καὶ αὐτῷ σοι ἐπιτρέψειεν εὔξασθαι, τί ποτ' ἂν οἴει, ἢ τὴν παρ' ἐκείνου διδομένων λαμβάνων, ἢ αὐτὸς εὐξάμενος γενέσθαι, τοῦ καιροῦ τυχεῖν; ΑΛΚ. Ἀλλὰ μὰ τοὺς θεοὺς ἐγὼ μὲν οὐδὲν ἂν ἔχοιμί σοι εἰπεῖν, ὦ Σώκρατες. ἀλλὰ μάργον τί μοι δοκεῖ εἶναι, καὶ ὡς ἀληθῶς πολλῆς φυλακῆς, ὅπως μὴ λήσῃ τις αὐτὸν εὐχόμενος μὲν κακὰ, δοκῶν δὲ ἀγαθὰ, ἔπειτ' ὀλίγον ἐπισχὼν, (ὅπερ καὶ σὺ ἔλεγες) παλινῳδεῖ ἀνευχόμενος ἅττα τοπρῶτον εὔξηται. ΣΩΚ. Ἆρ' οὖν οὐχὶ εἰδώς τι πλεῖον ἡμῶν ὁ ποιητὴς, οὗ καὶ ἐν ἀρχῇ τοῦ λόγου ἐπεμνήσθην, τὰ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν ἐκέλευσεν; ΑΛΚ. Ἐμοὶ μέν τοι δοκεῖ. ΣΩΚ. Τοῦτον

tatus nusquam ſane conſiſtis, ſed quod olim aſſeveraveris, deinceps damnare, nec eandem opinionem ſemper tenere) ſi forte Deus, quem oraturus accedis, oculis ſeſe tuis objiciens, antequam voveas, ita te roget, an tibi aliquid ex iis quæ in principio dicta ſunt, habere ſatis ſit, vel tibi licentiam præſtet quod libeat poſtulandi, quidnam vel illo dante acceptum, vel ipſe precando adeptus, voti compotem *te* factum putares? ALC. Per Deos, O Socrates, quid reſpondeam non habeo: ſed inſanum quiddam mihi videtur temere Deum precari, ac diligenter conſiderandum ne quis ſeipſum fallat, mala petens dum bona ſe putat orare, ac paulo poſt, ut tu dicebas, ad contraria vota ſe transferat. SOC. Nonne ergo prudentior nobis Poeta, cujus in principio diſputationis mentionem fecimus, qui precabatur mala etiam ab orantibus avertere? ALC. Mihi videtur. SOC. Lacedæmonii

1 F. εἰ οὖν σοί γ' ἔτι καὶ νῦν. *Steph.*

μὲν τοίνυν, ὦ Ἀλκιβιάδη, καὶ Λακεδαιμόνιοι τὸν ποιητὴν ἐζηλωκότες, εἴτε καὶ αὐτοὶ οὕτως ἐπεσκεμμένοι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἑκάστοτε παραπλησίαν εὐχὴν εὔχονται, τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θεοὺς διδόναι κελεύοντες αὖ σφίσιν αὐτοῖς· πλεῖον δ' οὐδεὶς ἂν ἐκείνων εὐξαμένων ἀκούσειε. τοιγαροῦν εἰς τὸ παρῆκον τοῦ χρόνου καὶ οὐδένων ἧττον εὐτυχεῖς εἰσιν ἄνθρωποι. εἰ δ' ἄρα καὶ συμβέβηκεν αὐτοῖς ὥστε μὴ πάντα εὐτυχεῖν, ἀλλ' οὐ διὰ τὴν ἐκείνων εὐχήν· ἐπὶ τοῖς θεοῖς δ' ἐστὶν οἶμαι, ὥστε καὶ διδόναι ἅττ' ἄν τις εὐχόμενος τυγχάνῃ, καὶ τἀναντία τούτων.

ιβ'. Βούλομαι δέ σοι καὶ ἕτερόν τι διηγήσασθαι, ὅ ποτε ἤκουσα πρεσβυτέρων τινῶν, ὡς Ἀθηναίοις καὶ Λακεδαιμονίοις διαφορᾶς γενομένης, συνέβαινεν αἰεὶ τῇ πόλει ἡμῶν, ὥστε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὁπόταν μάχη γένοιτο δυστυχεῖν, καὶ μηδέποτε δύνασθαι κρατῆσαι· τοὺς οὖν Ἀθηναίους ἀγανακτοῦντας τῷ πράγματι, καὶ ἀπορουμένους τίνι χρὴ μηχανῇ τῶν παρόντων κακῶν ἀποτροπὴν εὑρεῖν, βουλευομένοις αὐτοῖς

itaque, O Alcibiades, five hunc Poetam æmulantes, feu ex feipfis animadvertentes, ejufmodi votum tam privatim quam publice fervant, orantes Deos pulcra cum bonis fibi tribuere, nec plura illos precari quis audiverit. Quare huc ufque nihilo minus quam cæteri felices fuerunt. Si quid autem illis unquam minus profpere fucceffit, non eft precatio illorum in caufa, quandoquidem in Deorum poteftate, ut arbitror, fitum eft, quæ precamur tribuere, vel contra.

12. Volo infuper aliud quiddam tibi referre, quod aliquando a fenioribus quibufdam accepi; Nempe femper civitati noftræ accidiffe, ut quotiefcunque bellum Athenienfes cum Lacedæmoniis gererent, noftri tum terra tum mari infelices effent, nec victores unquam redirent. Qua re indignatos Athenienfes, cum nefcirent qua arte tantam calamitatem

δοκεῖν κράτιστον εἶναι, πέμψαντας πρὸς Ἄμμωνα, ἐκεῖνον ἐπερωτᾶν. ἔπι δὲ πρὸς τούτοις τάδε, καὶ ἀνθ᾽ ὅτου ποτὲ Λακεδαιμονίοις οἱ θεοὶ μᾶλλον νίκην διδόασιν ἢ σφίσιν αὐτοῖς, οἳ πλείστας (φάναι) μὲν θυσίας καὶ καλλίστας τῶν Ἑλλήνων ἄγομεν, ἀναθήμασί τε κεκοσμήκαμεν τὰ ἱερὰ αὐτῶν ὡς οὐδένες ἄλλοι, πομπάς τε πολυτελεστάτας καὶ σεμνοτάτας ἐδωρούμεθα τοῖς θεοῖς ἀν᾽ ἕκαστον ἔτος, καὶ ἐτελοῦμεν χρήματα ὅσα οὐδ᾽ οἱ ἄλλοι ξύμπαντες Ἕλληνες. Λακεδαιμονίοις δὲ (φάναι) οὐδέποτ᾽ ἐμέλησεν οὐδὲν τούτων, ἀλλ᾽ οὕτως ὀλιγώρως διάκεινται πρὸς τοὺς θεούς, ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε, καὶ τἆλλα πάντα οὐκ ὀλίγως ἐνδεεστέρως τιμῶσιν ἤπερ ἡμεῖς, οὐδὲν ἐλάττω χρήματα κεκτημένοι τῆς ἡμετέρας πόλεως. ἐπειδὴ εἰρηκέναι ταῦτά τε, καὶ ἐπερωτῆσαι, Τί χρὴ πράττοντας αὐτοὺς τῶν παρόντων κακῶν ἀπαλλαγὴν εὑρεῖν· ἄλλο μὲν οὐδὲν ἀποκριθῆναι τὸν προφήτην (τὸν γὰρ θεὸν οὐκ ἐᾶν δηλον-

averterent, decreviſſe Ammonem conſulere, atque inſuper quærere, quam ob cauſam Dii Lacedæmoniis potius quam Athenienſibus victoriam largirentur, cum ipſi tamen, ut aiebant, ſacrificia tum plura, tum pulcriora quam reliqui Græcorum offerrent, donis templa ſic ornantes ut nulli alii, pompaſque quotannis ſumptuoſiſſimas & auguſtiſſimas celebrantes, & pecunias erogantes, quantas ne Græci quidem cæteri univerſi; cum tamen Lacedæmoniis nulla eſſet iſtorum cura, ſed adeo ii circa divinum cultum negligentes eſſent, ut animalia mutilata paſſim mactarent, & in aliis omnibus ceremoniis longe admodum parciores eſſent quam Athenienſes, cum tamen reditus nihilo minores quam noſtra civitas poſſiderent. Poſteaquam hæc dixiſſent nuntii, & inſuper interrogarent quo pacto a præſenti calamitate liberari poſſent, nihil aliud ad hæc vatem reſpondiſſe: (Deum

ὅτι) καλέσαντα δὲ αὐτὸν Ἀθηναίους φάναι, Τάδε λέγει Ἄμμων· φησὶν ἂν βούλεσθαι αὐτῷ τὴν Λακεδαιμονίων εὐφημίαν εἶναι μᾶλλον, ἢ τὰ σύμπαντα τῶν Ἑλλήνων ἱερά. τοσαῦτα εἰπεῖν, οὐκέτι περαιτέρω. τὴν γοῦν εὐφημίαν οὐκ ἄλλην τινά μοι δοκεῖ λέγειν ὁ θεὸς, ἢ τὴν εὐχὴν αὐτῶν. ἔστι γὰρ τῷ ὄντι πολὺ διαφέρουσα τῶν ἄλλων. οἱ μὲν γὰρ ἄλλοι Ἕλληνες, οἱ μὲν χρυσόκερως βοῦς παραστησάμενοι, ἕτεροι δ᾽ ἀναθήμασι δωρούμενοι τοὺς θεοὺς, εὔχονται ἅττ᾽ ἂν τύχῃ ταῦτα, ἐάν τε ἀγαθὰ, ἐάν τε κακά. βλασφημούντων οὖν αὐτῶν ἀκούοντες οἱ θεοὶ, οὐκ ἀποδέχονται τὰς πολυτελεῖς ταυτασὶ πομπάς τε καὶ θυσίας. ἀλλὰ δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως, ὅ, τι ποτὲ ῥητέον ἐστὶ καὶ μή. εὑρήσεις δὲ καὶ παρ᾽ Ὁμήρῳ ἕτερα παραπλήσια τούτοις εἰρημένα. φησὶ γὰρ τοὺς Τρῶας ἔπαυλιν ποιουμένους,

enim non permiſiſſe) accerſitis vero Athenienſibus, in hunc modum fuiſſe locutum, Hæc dicit Ammo; placere ſibi magis Lacedæmoniorum precationem fauſtam quam reliquorum Græcorum ſacra omnia: nec plura iis reſpondiſſe. Precationem fauſtam vero nullam prorſus aliam Deus mihi dixiſſe videtur, quam illorum preces: etenim revera permultum illæ a cæteris differunt. Reliqui enim Græci partim auratis cornubus boves ſiſtentes, partim donariis egregiis Deos ornantes, quæcunque occurrunt, ſeu bona ſive mala, ab iis petunt. Dii vero, cum illos mala imprecantes audiunt, ditiſſimas haſce pompas & ſacrificia non acceptant. Quamobrem diligenter conſiderandum mihi videtur, quid dicendum ſit quidve non dicendum. Invenies autem apud Homerum dicta alia horum ſimilia. Ait enim Trojanos, cum caſtra ſuburbana facerent,

Ἔρδειν ἀθανάτοισι τελειέσσας ἑκατόμβας.
τὴν δὲ κνίσσαν ἐκ τοῦ πεδίου τοὺς ἀνέμους φέρειν
——— οὐρανὸν εἴσω
Ἡδεῖαν, τῆς δ' οὔτι θεοὺς μάκαρας δατέεσθαι,
Οὐδ' ἐθέλειν, μάλα γάρ σφιν ἀπήχθετο Ἴλιος ἱρή,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.

Ὥστε οὐδὲν αὐτοῖς προὔργου ἦν θύειν τε καὶ δῶρα τελεῖν μάτην, θεοῖς ἀπηχθημένους. οὐ γὰρ (οἶμαι) τοιοῦτόν ἐστι τὸ τῶν θεῶν, ὥστε ὑπὸ δώρων παράγεσθαι, οἷον κακὸν τοκιστήν. ἀλλὰ καὶ ἡμεῖς εὐήθη λόγον λέγομεν, ἀξιοῦντες Λακεδαιμονίων ταύτῃ περιεῖναι. καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέπουσιν ἡμῶν οἱ θεοί, ἀλλὰ μὴ πρὸς τὴν ψυχήν, ἄν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ. πολλῷ μᾶλλον (οἶμαι,) ἢ πρὸς τὰς πολυτελεῖς ταύτας πομπάς τε καὶ θυσίας, ἃς οὐδὲν κωλύει, πολλὰ μὲν εἰς θεοὺς πολλὰ δ' εἰς ἀνθρώπους ἡμαρτηκότας, καὶ ἰδιώτην καὶ πόλιν,

Dicare Diis immortalibus perfectas Hecatombas;
ventos autem nidorem ex littore ferre
— usque ad cœlum
Suavem, sed beatos Deos illo minime vesci,
Nec voluisse, valde enim iis odio erat sacrum Ilion,
Et Priamus & Priami bellicosi populus.

Itaque nil Trojanis proderat, cum adversos Deos haberent, sacra ac munera temere iis offerre. Neque enim, ut opinor, ejusmodi est Dei natura, ut ducatur muneribus, quemadmodum improbus fœnerator. Sed nos nimium deliramus, si quando nos Lacedæmoniis propter munera præstare velimus. Etenim grave esset, si Deus ad donaria & sacrificia nostra respiceret potius quam ad animum, utrum justus sanctusque sit. Imo, multo magis, ut puto, *ad animum* quam ad has sumptuosas pompas atque sacra, quæ facile quisquam, qui multa in Deum hominesque peccaverit, seu pri-

ἔχειν [1] ἂν ἕκαστον ἔτος τελεῖν. ᾧ δὴ, ἅτε οὐ δωροδόκοι ὄντες, καταφρονοῦσιν ἁπάντων τούτων, ὥς φησιν ὁ θεὸς καὶ θεῶν προφήτης. κινδυνεύει γοῦν καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις, τοῖς νοῦν ἔχουσι, δικαιοσύνη τε καὶ φρόνησις διαφερόντως τετιμῆσθαι. φρόνιμοι δὲ καὶ δίκαιοι, οὐκ ἄλλοι τινές εἰσιν, ἢ τῶν εἰδότων ἃ δεῖ πράττειν καὶ λέγειν καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους. βουλοίμην δ' ἂν καὶ σοῦ πυθέσθαι, ὅ,τι ποτὲ ἐν νῷ ἔχεις πρὸς ταῦτα. ΑΛΚ. Ἀλλ' ἐμοὶ μὲν, ὦ Σώκρατες, οὐκ ἄλλῃ πῃ δοκεῖ, ἢ ᾗπερ σοί τε καὶ τῷ θεῷ. οὐδὲ γὰρ ἂν εἰκὸς εἴη, ἀντίψηφον ἐμὲ τῷ θεῷ γίγνεσθαι. ΣΩΚ. Οὐκοῦν μέμνησαι σὺ πολλῇ ἀπορίᾳ φάσκων εἶναι, ὅπως μὴ λάθῃς σεαυτὸν εὐχόμενος κακὰ, δοκῶν δὲ ἀγαθά; ΑΛΚ. Ἔγωγε. ΣΩΚ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλές σοι ἐστὶν ἐλθεῖν πρὸς τὸν θεὸν εὐξομένῳ, ἵνα μὴ δ' ἂν οὕτω τύχῃ, βλασφημοῦντός σου ἀκούων, οὐδὲν ἀποδέξηται τῆς θυσίας ταύτης, τυχὸν δὲ καὶ ἕτερόν τι προσαπο-

vatus sit, sive respublica, singulis annis perfecerit. Ii vero, utpote muneribus non corrupti, spernunt hæc omnia, ut Deus Deorumque vates prædixit. Videtur ergo, & apud Deos & apud homines sanæ mentis, justitiam & prudentiam præcipue honorari. Prudentes autem justique sunt, qui sciunt quæ erga Deum & homines & agere & dicere deceat. Cupio tamen ex te audire, si quid habeas contra dicendum. ALC. Mihi vero, O Socrates, haud secus quam tibi ac Deo videtur: neque enim fas esset a Deo me dissentire. SOC. Recordaris ergo dixisse te in plurima dubitatione versari, ne imprudens mala precatus fueris, cum bona videreris precari. ALC. Memini. SOC. Videsne igitur non satis tutum tibi esse ad orandum pergere, ne quando te Deus audiens mala imprecantem, ista tua sacrificia renuat, aliud vero quiddam insuper mali reportes? Mihi ergo videtur operæ pre-

1 F. ἂν ἕκαστον. *Steph.*

λαύσῃς. ἐμοὶ μὲν οὖν δοκεῖ κράτιστον εἶναι, ἡσυχίαν ἔχειν. τῇ μὲν γὰρ Λακεδαιμονίων εὐχῇ, διὰ τὴν μεγαλοψυχίαν (τοῦτο γὰρ κάλλιστον τῶν ἐν ἀφροσύνῃ γε ὀνομάτων) οὐκ ἂν οἶμαί σε ἐθέλειν χρῆσθαι. ἀναγκαῖον οὖν ἐστι περιμένειν, ἕως ἄν τις μάθῃ ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.

ιγ'. ΑΛΚ. Πότε οὖν παρέσται ὁ χρόνος οὗτος, ὦ Σώκρατες, καὶ τίς ὁ παιδεύσων; ἥδιστα γὰρ ἄν μοι δοκῶ ἰδεῖν τοῦτον τὸν ἄνθρωπον, τίς ἐστιν. ΣΩΚ. Οὗτός ἐστιν, ᾧ μέλει περὶ σοῦ. ἀλλὰ δοκεῖ μοι, ὥσπερ τῷ Διομήδει φησὶ τὴν Ἀθηνᾶν Ομηρος ἀπὸ τῶν ὀφθαλμῶν ἀφελεῖν τὴν ἀχλὺν,

Ὀφρ' εὖ γιγνώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα,

οὕτω καὶ σοῦ δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον ἀφελόντα τὴν ἀχλὺν, ἣ νῦν παροῦσα τυγχάνει, τὸ τηνικαῦτ' ἤδη προσφέρειν δι' ὧν μέλλεις γνώσεσθαι Ημὲν κακὸν ἠδὲ καὶ ἐσθλόν. νῦν μὲν

tium esse quietem agere: nam oratione Lacedæmoniorum propter magnanimitatem tuam (id enim nomen honestissimum est omnium, quibus insipientia significatur) non existimo uti te velle. Quare necesse est expectare, donec discas quemadmodum te tum erga Deos tum erga homines gerere deceat.

13. ALC. Quando futurus est, O Socrates, ille dies, & quis præcepturus? Jucundissime enim hunc hominem, cujusmodi sit, aspexerim. SOC. Talis est, qualis tui curam habeat. Verum mihi videtur, quemadmodum Diomedi Minervam inquit Homerus ab oculis nebulam abstulisse,

Ut discerneret Deum ab homine,

sic & ab animo tuo prius oportere caliginem, qua nunc offenditur, auferre, deinde illa proprius admovere, per quæ, seu bonum quid sit sive malum, dignoscas: nunc enim impos

γὰρ οὐκ ἄν μοι δοκῇς δυνηθῆναι. ΑΛΚ. Ἀφαιρείτω εἴτε βούλεται τὴν ἀχλὺν, εἴτε ἄλλο τι· ὡς ἐγὼ παρεσκεύασμαι, μηδὲν ἂν φεύγειν τῶν ὑπ᾽ ἐκείνου προσταττομένων, ὅς τίς ποτ᾽ ἐστὶν ὁ ἄνθρωπος, εἴγε μέλλοιμι βελτίων γενέσθαι. ΣΩΚ. Ἀλλὰ μὴν κἀκεῖνος θαυμαστὴν ὅσην περὶ σὲ προθυμίαν ἔχει. ΑΛΚ. Εἰς τότε τοίνυν καὶ τὴν θυσίαν ἀναβάλλεσθαι, κράτιστον εἶναί μοι δοκεῖ. ΣΩΚ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ. ἀσφαλέστερον γάρ ἐστιν, ἢ παρακινδυνεύειν τοσοῦτον κίνδυνον. ΑΛΚ. Ἀλλὰ πῶς, ὦ Σώκρατες; καὶ μὴν τουτονὶ τὸν στέφανον, ἐπειδή μοι δοκεῖς καλῶς συμβεβουλευκέναι, σοὶ περιθήσω· τοῖς θεοῖς δὲ, καὶ στεφάνους, καὶ τἄλλα πάντα τὰ νομιζόμενα τότε δώσομεν, ὅταν ἐκείνην τὴν ἡμέραν ἐλθοῦσαν ἴδω· ἥξει δ᾽ οὐ διὰ μακροῦ, τούτων θελόντων. ΣΩΚ. Ἀλλὰ δέχομαι καὶ τοῦτο, καὶ ἄλλο δὲ ἀντὶ τῶν παρὰ σοῦ δοθέντων ἡδέως ἴδοιμι δεξάμενον ἐμαυτόν· ὥσπερ

esse videris. ALC. Auferat, seu nebulam ille velit, sive quodcunque aliud. Etenim paratus sum nihil penitus prætermittere, quod ille præceperit, quisquis denique sit, modo ipse sim melior evasurus. SOC. Atqui ille mirum in modum tibi providet. ALC. In illud itaque tempus hoc sacrificium differre optimum fore censeo. SOC. Et recte quidem censes: tutius enim est quam tanto periculo te subjicere. ALC. Sic est, O Socrates. Interea tamen quoniam mihi boni consuluisse videris, hanc tibi coronam imponam. Diis autem & coronas, & reliqua omnia quæcunque decet, tunc demum offeremus, cum diem illam adventasse cognovero. Adventabit autem quamprimum, Diis volentibus. SOC. Accipio & hoc, & aliud quiddam loco eorum quæ mihi abs te data sunt libenter acceperim. Quemadmodum vero Creon apud Eu-

δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται τὸν Τειρεσίαν ἰδὼν ἔχοντα τὰ στέφη, καὶ ἀκούσας ἀπὸ τῶν πολεμίων ἀπαρχὰς αὐτὸν εἰληφέναι διὰ τὴν τέχνην,

Οἰωνὸν ἐθέμην (φησὶ) καλλίνικα στέφη,

Ἐν γὰρ κλύδωνι διακείμεθα, ὥσπερ οἶσθα σύ·

οὕτω δὴ κἀγὼ παρὰ σοῦ τὴν δόξαν ταύτην οἰωνὸν τίθεμαι. δοκῶ δέ μοι οὐκ ἐν ἐλάττονι κλύδωνι τοῦ Κρέοντος εἶναι, καὶ βουλοίμην ἂν καλλίνικος γενέσθαι τῶν σῶν ἐραστῶν.

ripidem videns Tiresiam coronatum, et audiens eum primitias propter artem *suam* ab hostibus accepisse, ait,

Augurium esse ducebam triumphales coronas,

In tempestate enim versamur, ut ipse nosti;

sic & ego hanc sententiam tuam augurii loco habeo. Videor autem mihi non minori quam Creon tempestate jactari, studeoque omnium amicorum tuorum victor abire.

ΠΛΑΤΩΝΟΣ

ΙΠΠΑΡΧΟΣ

Η ΦΙΛΟΚΕΡΔΗΣ.

ΣΩΚΡΑΤΗΣ, ΙΠΠΑΡΧΟΣ.

ΤΙ γὰρ τὸ φιλοκερδές, τί ποτέ ἐστι; καὶ τίνες οἱ φιλοκερδεῖς; ΙΠ. Ἐμοὶ μὲν δοκοῦσιν οἳ ἂν κερδαίνειν ἀξιώσωσιν ἀπὸ τῶν μηδενὸς ἀξίων. ΣΩΚ. Πότερον οὖν σοι δοκοῦσι, γινώσκοντες ὅτι οὐδενός ἐστιν ἄξια, ἢ ἀγνοοῦντες; εἰ γὰρ ἀγνοοῦντες, ἀνοήτους λέγεις τοὺς φιλοκερδεῖς. ΙΠ. Ἀλλ' οὐκ ἀνοήτους λέγω, ἀλλὰ πανούργους καὶ πονηρούς, καὶ ἥττους τοῦ κέρδους, γιγνώσκοντας ὅτι οὐδενὸς

PLATONIS

HIPPARCHUS

SIVE

LUCRI STUDIOSUS.

SOCRATES, HIPPARCHUS.

QUID eſt lucri ſtudium, quid tandem eſt? & qui ſunt lucri ſtudioſi? HIP. Mihi quidem eſſe videntur hi, qui ex rebus nullius pretii lucrari cupiunt. SOC. Num eſſe tibi videntur, ſcientes quod nullius pretii ſint illa, aut ignorantes? Si enim ignorantes ſunt, dementes dicis lucri ſtudioſos. HIP. At non dementes dico, ſed verſutos, & improbos, & lucro inferiores, qui ſciunt quod nullius pretii ſint

ἄξιά ἐστιν ἀφ' ὧν τολμῶσι κερδαίνειν, ὅμως τολμᾷν φιλοκερδεῖν δι' ἀναισχυντίαν. ΣΩΚ. Ἆρ' οὖν τοιόνδε λέγεις τὸν φιλοκερδῆ, οἷον ἐὰν φυτεύων γεωργὸς ἀνὴρ, καὶ γιγνώσκων ὅτι οὐδενὸς ἄξιον τὸ φυτὸν, ἀξιοῖ ἀπὸ τούτου ἐκτραφέντος κερδαίνειν; ἆρα τοιοῦτον αὐτὸν λέγεις; ΙΠ. Ἀπὸ παντὸς ὅ γε φιλοκερδὴς, ὦ Σώκρατες, οἴεται δεῖν κερδαίνειν. ΣΩΚ. Μή μοι οὕτως εἰκῆ, ὥσπερ τι ἠδικημένος ὑπό τινος, ἀλλὰ προσέχων ἐμοὶ τὸν νοῦν, ἀπόκριναι, ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς πάλιν ἠρώτων. οὐχὶ ὁμολογεῖς τὸν φιλοκερδῆ ἐπιστήμονα εἶναι περὶ τῆς ἀξίας τούτου, ὅθεν κερδαίνειν ἀξιοῖ; ΙΠ. Ἔγωγε. ΣΩΚ. Τίς οὖν ἐπιστήμων περὶ φυτῶν τῆς ἀξίας, ἐν ὁποίᾳ ἄξια φυτευθῆναι καὶ χώρᾳ καὶ ὥρᾳ; ἵνα τι καὶ ἡμεῖς τῶν σοφῶν ῥημάτων ἐκβάλωμεν, ὧν οἱ δεξιοὶ περὶ τὰς δίκας καλλιεποῦνται. ΙΠ. Ἐγὼ μὲν οἶμαι γεωργόν. ΣΩΚ. Τὸ οὖν [1] ἄξιον κερδαίνειν ἄλλο

ea ex quibus lucrari audent, & tamen propter impudentiam lucrum amplecti audent. SOC. Num talem dicis lucri studiosum, velut si agricola plantans, & sciens nullius pretii plantam esse, cupiat tamen ex hac enata lucrari, num talem ipsum dicis? HIP. Ex quavis re putat lucri studiosus, O Socrates, lucrari oportere. SOC. Ne mihi ita temere, velut qui ab aliquo injuria affectus sis, sed mentem mihi advertens, responde, quemadmodum si ab initio rursus interrogem. Nonne confiteris lucri studiosum scientem esse pretii ejus rei, unde lucrari cupit? HIP. Ego sane confiteor. SOC. Quis igitur est qui novit plantarum pretium, in quali & regione & tempore pro dignitate plantari oporteat? ut nos etiam aliquid sapientium illorum verborum ejiciamus, quorum elegantia insignes illi causidici se venditant. HIP. Ego quidem agricolam esse arbitror. SOC. Illud igitur, Velle lucrari,

1 F. ἀξ. οὖν.

τί λέγεις, ἢ οἴεσθαι δεῖν κερδαίνειν; ΙΠ. Τοῦτο λέγω. ΣΩΚ. Μὴ τοίνυν ἐπιχείρει με ἐξαπατᾷν, ἄνδρα πρεσβύτερον ἤδη, οὕτω νέος ὤν, ἀποκρινόμενος ὥσπερ νῦν δὴ ἃ οὐδ' αὐτὸς οἴει, ἀλλ' ὡς ἀληθῶς, εἴπερ ἐστὶν, ὅντινα οἴει γεωργικὸν ἄνδρα γιγνόμενον, καὶ γιγνώσκοντα ὅτι οὐδενὸς ἄξιον φυτεύει τὸ φυτὸν, οἴεσθαι ἀπὸ τούτου κερδαίνειν; ΙΠ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩΚ. Τί δέ; ἱππικὸν ἄνδρα γιγνώσκοντα ὅτι οὐδενὸς ἄξια σιτία τῷ ἵππῳ παρέχει, ἀγνοεῖν αὐτὸν οἴει, ὅτι τὸν ἵππον διαφθείρει; ΙΠ. Οὐκ ἔγωγε. ΣΩΚ. Οὐκ ἄρα οἴεταί γε ἀπὸ τούτων κερδαίνειν τῶν σιτίων τῶν μηδενὸς ἀξίων. ΙΠ. Οὐχί. ΣΩΚ. Τί δέ; κυβερνήτην μηδενὸς ἄξια πηδάλια καὶ ἱστία τῇ νηῒ παρασκευασάμενον, ἀγνοεῖν οἴει ὅτι ζημιωθήσεται, καὶ κινδυνεύσει καὶ αὐτὸς ἀπολέσθαι καὶ τὴν ναῦν ἀπολέσαι, καὶ ἃ ἂν ἄγῃ πάντα; ΙΠ. Οὐκ ἔγωγε. ΣΩΚ. Οὐκ ἄρα οἴεταί γε κερδαίνειν ἀπὸ τῶν σκευῶν τῶν μηδενὸς ἀξίων.

aliud dicis quam putare lucrari ſe oportere? HIP. Hoc dico. SOC. Ne itaque decipere coneris me virum ſeniorem jam, cum tu ita juvenis ſis, reſpondendo, velut nunc, ea quæ neque ipſe putas, ſed ſincere, utrum *necne* ſit, quem agricolam eſſe putas, qui ſciat ſe nullius pretii plantare plantam, & putet tamen ex hac ſe lucrari? HIP. Per Jovem ego non puto. SOC. Quid vero? equitem qui ſciat quod pabulum nullius pretii equo præbeat, ignorare ipſum putas, quod equum perdit? HIP. Non ſane ego. SOC. Non ergo putat ab hoc nullius pretii pabulo ſe lucrari. HIP. Non. SOC. Quid vero gubernatorem qui gubernacula & vela nullius pretii ad navem paravit, ignorare putas quod damnum incurret, & periclitabitur ut & ipſe pereat, & navem perdat, eaque quæ vehit omnia? HIP. Non equidem puto. SOC. Non ergo putat ſe lucrari ex his nullius pretii

ΙΠ. Οὐ γάρ. ΣΩΚ. Ἀλλὰ στρατηγὸς, γιγνώσκων ὅτι ἡ στρατιὰ αὐτῷ οὐδενὸς ἄξια ὅπλα ἔχει, οἴεται ἀπὸ τούτων κερδαίνειν, καὶ ἀξιοῖ κερδαίνειν; ΙΠ. Οὐδαμῶς. ΣΩΚ. Ἀλλ' αὐλητὴς αὐλοὺς οὐδενὸς ἀξίους ἔχων, ἢ κιθαριστὴς λύραν, ἢ τοξότης τόξον, ἢ ἄλλος ὁστισοῦν συλλήβδην τῶν δημιουργῶν ἢ τῶν ἄλλων τῶν ἐμφρόνων ἀνδρῶν, μηδενὸς ἄξια ὄργανα ἢ ἄλλην παρασκευὴν ἡντιναοῦν ἔχων, ἀπὸ τούτων οἴεται κερδαίνειν; ΙΠ. Οὔκουν φαίνεταί γε.

β'. ΣΩΚ. Τίνας οὖν ποτε λέγεις τοὺς φιλοκερδεῖς; οὐ γὰρ δή που τούτους γε οὓς διεληλύθαμεν, οἵτινες, γιγνώσκοντες τὰ οὐδενὸς ἄξια, ἀπὸ τούτων οἴονται δεῖν κερδαίνειν; ἀλλ' οὕτω μὲν, ὦ θαυμάσιε, ὡς σὺ λέγεις, οὐκ ἔστ' ἀνθρώπων οὐδεὶς φιλοκερδής. ΙΠ. Ἀλλ' ἐγὼ, ὦ Σώκρατες, βούλομαι λέγειν τούτους φιλοκερδεῖς εἶναι, οἳ ἑκάστοτε ὑπὸ ἀπληστίας καὶ πάνυ σμικρὰ καὶ ὀλίγου ἄξια καὶ οὐδενὸς γλίχονται ὑπερφυῶς, καὶ φιλοκερδοῦσιν. ΣΩΚ. Οὐ δή που, ὦ βέλτιστε,

instrumentis. HIP. Non ſane. SOC. At exercitûs dux qui ſcit exercitum arma nullius pretii habere, ex his ſe lucrari putat, & lucrari cupit? HIP. Nequaquam. SOC. At tibicen qui tibias nullius pretii habeat, aut citharœdus lyram, aut ſagittarius arcum, aut in ſumma alius quicunque opifex, aut rei cujuſvis peritus, inſtrumenta aut aliam quamcunque ſuppellectilem nullius pretii habens, ex his ſe lucrari putat? HIP. Non apparet.

2. SOC. Quos igitur tandem dicis lucri ſtudioſos? Non enim hi quos recenſuimus, qui nullius pretii illa eſſe ſciunt, ex his lucrari oportere putant. HIP. At hoc modo tu quoque, vir optime, dicis, nullus homo lucri ſtudioſus eſt. Verum ego hos lucri ſtudioſos eſſe dicere volo, qui præ inexplebili aviditate etiam valde parva, & exigui ac nullius pretii, immodice appetunt, & inde lucrum quærunt. SOC. Non tamen, O optime, hi ſciunt, quod illa nul-

γιγνώσκοντες, ὅτι οὐδενὸς ἄξιά ἐστι· τούτου μὲν γὰρ ἤδη ἡμᾶς αὐτοὺς τῷ λόγῳ ἐξηλέγξαμεν, ὅτι ἀδύνατον. ΙΠ. Εμοιγε δοκεῖ. ΣΩΚ. Ουκοῦν εἰ μὴ γιγνώσκοντες, δῆλον ὅτι ἀγνοοῦντες, οἰόμενοι δὲ τὰ μηδενὸς ἄξια πολλοῦ ἄξια εἶναι. ΙΠ. Φαίνεται. ΣΩΚ. Αλλό τι οὖν οἵγε φιλοκερδεῖς φιλοῦσι [1] τὸ κέρδος; ΙΠ. Ναί. ΣΩΚ. Κέρδος δὲ λέγεις ἐναντίον τῇ ζημίᾳ; ΙΠ. Εγωγε. ΣΩΚ. Εστιν οὖν ὅτῳ ἀγαθόν ἐστι ζημιοῦσθαι; ΙΠ. Ουδενί. ΣΩΚ. Αλλὰ κακόν; ΙΠ. Ναί. ΣΩΚ. Βλάπτονται ἄρα ὑπὸ τῆς ζημίας ἄνθρωποι; ΙΠ. Βλάπτονται. ΣΩΚ. Κακὸν ἄρα ἡ ζημία; ΙΠ. Ναί. ΣΩΚ. Εναντίον δὲ τῇ ζημίᾳ τὸ κέρδος; ΙΠ. Εναντίον. ΣΩΚ. Αγαθὸν ἄρα τὸ κέρδος; ΙΠ. Ναί. ΣΩΚ. Τοὺς οὖν τὸ ἀγαθὸν φιλοῦντας φιλοκερδεῖς καλεῖς; ΙΠ. Εοικεν. ΣΩΚ. Ου μανικοὺς δὲ, ὦ ἑταῖρε, λέγεις τοὺς φιλοκερδεῖς. ἀλλὰ σὺ αὐτὸς πότερον

lius pretii sint. Eo enim jam nos ipsos adegimus, ut fieri non posse dixerimus. HIP. Mihi sane videtur. SOC. Si igitur non sciunt, certum est quod ignorant, verum putant ea, quæ nullius sunt, multi pretii esse. HIP. Apparet. SOC. At lucri studiosi amant lucrum? HIP. Etiam. SOC. Lucrum autem dicis contrarium damno? HIP. Ego sane. SOC. Estne igitur quis cui bonum sit damno affici? HIP. Nemo est. SOC. At malum est damno affici? HIP. Etiam. SOC. Læduntur ergo homines a damno? HIP. Læduntur. SOC. Malum ergo est damnum? HIP. Etiam. SOC. Contrarium autem damno est lucrum? HIP. Contrarium. SOC. Bonum igitur est lucrum? HIP. Etiam. SOC. Eos igitur qui bonum amant, vocas lucri studiosos. HIP. Videtur. SOC. Non autem insanos dicis, O amice, lucri studiosos: at tu ipse utrum amas quod bonum fuerit, aut

1 F. ἢ τὸ.

φιλεῖς ὃ ἂν ἀγαθὸν ᾖ, ἢ οὐ φιλεῖς; ΙΠ. Εγωγε. ΣΩΚ. Εστι δέ τι ἀγαθὸν ὃ οὐ φιλεῖς, ἀλλὰ κακόν; ΙΠ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩΚ. Αλλὰ πάντα ἀγαθὰ ἴσως φιλεῖς; ΙΠ. Ναί. ΣΩΚ. Ερου δὴ καὶ ἐμέ, εἰ οὐ καὶ ἐγώ. ὁμολογήσω γὰρ καὶ ἐγώ σοι φιλεῖν τὰ ἀγαθά. ἀλλὰ πρὸς ἐμοὶ καὶ σοί, οἱ ἄλλοι ἄνθρωποι πάντες οὐ δοκοῦσί σοι τἀγαθὰ φιλεῖν, τὰ δὲ κακὰ μισεῖν; ΙΠ. Εμοιγε φαίνεται. ΣΩΚ. Τὸ δὲ κέρδος ἀγαθὸν ὡμολογήσαμεν; ΙΠ. Ναί. ΣΩΚ. Πάντες αὖ φιλοκερδεῖς φαίνονται τοῦτον τὸν τρόπον, ὃν δέ, τοπρότερον ἐλέγομεν, οὐδεὶς ἦν φιλοκερδής. ποτέρῳ οὖν ἄν τις τῷ λόγῳ χρώμενος, οὐκ ἂν ἐξαμαρτάνοι; ΙΠ. Εἴ τις, ὦ Σώκρατες, οἶμαι ὀρθῶς λαμβάνοι τὸν φιλοκερδῆ· ὀρθῶς δ' ἐστὶ τοῦτον ἡγεῖσθαι φιλοκερδῆ, ὃς ἂν σπουδάζοι ἐπὶ τούτοις καὶ ἀξιοῖ κερδαίνειν ἀπ' αὐτῶν, ἀφ' ὧν οἱ χρηστοὶ οὐ τολμῶσι κερδαίνειν.

non amas? HIP. Ego ſane amo. SOC. Eſtne bonum quicquam quod non amas, ſed malum? HIP. Per Jovem non ego. SOC. At omnia bona fortaſſis amas? HIP. Etiam. SOC. Interroga ſane etiam me, an non & ego. Fatebor enim & ego tibi, amare me bona. Imo præter me & te alii omnes homines nonne videntur tibi amare bona, & odio habere mala? HIP. Mihi ſane videntur. SOC. At lucrum bonum eſſe confeſſi ſumus? HIP. Etiam. SOC. Omnes igitur lucri ſtudioſi videntur hoc modo, quo ut prius, dicebamus, nullus erat lucri ſtudioſus. Utra igitur ratione quis utatur, ut non aberret? HIP. Si quis, O Socrates, recte accipiat lucri ſtudioſum: recte autem, arbitror, eum lucri ſtudioſum putabit, qui in his ſtudium ponit, & ab ipſis lucrari cupit, e quibus boni viri lucrari non audent.

γ'. ΣΩΚ. Ἀλλ' ὁρᾷς, ὦ γλυκύτατε, τὸ κερδαίνειν ἄρτι ὡμολογήσαμεν εἶναι ὠφελεῖσθαι; ΙΠ. Τί οὖν δὴ τοῦτο; ΣΩΚ. Ὅτι καὶ τόδε αὐτὸ προσωμολογήσαμεν, βούλεσθαι τὰ ἀγαθὰ ἅπαντας καὶ ἀεί. ΙΠ. Ναί. ΣΩΚ. Οὐκοῦν καὶ οἱ ἀγαθοὶ πάντα τὰ κέρδη βούλονται ἔχειν, εἴπερ ἀγαθά γέ ἐστιν. ΙΠ. Οὐκ ἀφ' ὧν γε μέλλουσιν, ὦ Σώκρατες, βλαβήσεσθαι τῶν κερδῶν. ΣΩΚ. Βλαβήσεσθαι δὲ λέγεις ζημιώσεσθαι, ἢ ἄλλό τι; ΙΠ. Οὔκ, ἀλλὰ ζημιωθήσεσθαι λέγω. ΣΩΚ. Ὑπὸ τοῦ κέρδους οὖν ζημιοῦνται, ἢ ὑπὸ τῆς ζημίας, ἄνθρωποι; ΙΠ. Ὑπὸ ἀμφοτέρων. καὶ γὰρ ὑπὸ τῆς ζημίας ζημιοῦνται, καὶ ὑπὸ τοῦ κέρδους τοῦ πονηροῦ. ΣΩΚ. Εἰ δοκεῖ οὖν τί σοι χρηστὸν καὶ ἀγαθὸν πρᾶγμα, πονηρὸν εἶναι; ΙΠ. Οὐκ ἔμοιγε. ΣΩΚ. Οὐκοῦν ὡμολογήσαμεν ὀλίγον πρότερον τὸ κέρδος τῇ ζημίᾳ κακῷ ὄντι ἐναντίον εἶναι; ΙΠ. Φημί. ΣΩΚ. Ἐναντίον δὲ ὂν κακῷ, ἀγαθὸν εἶναι; ΙΠ. Ὡμολογήσαμεν γάρ.

3. SOC. At vides O suavissime, quæ jam confessi sumus, lucrari esse utilitatem capere? HIP. Quid tum postea? SOC. Quod etiam hoc ipsum insuper confessi sumus, omnes & semper bona velle. HIP. Etiam. SOC. Nonne etiam boni viri omnia lucra habere volunt, siquidem bona sunt? HIP. Non tamen ea lucra, O Socrates, a quibus lædi possint. SOC. Lædi vero dicis damno affici, aut aliud quid? HIP. Non aliud, sed damno affici dico. SOC. A lucro igitur homines læduntur, aut a damno? HIP. Ab utrisque. Nam & a damno læduntur, & a malo lucro. SOC. Num videtur tibi res aliqua utilis & bona, mala esse? HIP. Non sane mihi. SOC. Nonne paulo ante confessi sumus lucrum damno, quod malum est, contrarium esse? HIP. Fateor. SOC. Contrarium autem quod est malo, bonum esse? HIP. Confessi sumus.

δ'. ΣΩΚ. Ὁρᾷς οὖν, ἐπιχειρεῖς με ἐξαπατᾷν, ἐπίτηδες ἐναντία λέγων οἷς ἄρτι ὡμολογήσαμεν. ΙΠ. Οὐ μὰ Δία, ὦ Σώκρατες, ἀλλὰ τοὐναντίον σὺ ἐμὲ ἐξαπατᾷς, καὶ οὐκ οἶδα ὅπῃ ἐν τοῖς λόγοις ἄνω καὶ κάτω στρέφεις. ΣΩΚ. Εὐφήμει, οὐ μὲν τ' ἂν καλῶς ποιοίην, οὐ πειθόμενος ἀνδρὶ ἀγαθῷ καὶ σοφῷ. ΙΠ. Τίνι τούτῳ, καὶ τί μάλιστα; ΣΩΚ. Πολίτῃ μὲν ἐμῷ τε καὶ σῷ, Πεισιστράτου δὲ υἱεῖ τοῦ ἐκ Φιλαϊδῶν Ἱππάρχῳ, ὃς τῶν Πεισιστράτου παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος· ὃς ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀπεδείξατο, καὶ τὰ Ὁμήρου πρῶτος ἐκόμισεν εἰς τὴν γῆν ταυτηνί, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς Παναθηναίοις ἐξ ὑπολήψεως ἐφεξῆς αὐτὰ διϊέναι, ὥσπερ νῦν ἔτι οἵδε ποιοῦσι, καὶ ἐπ' Ἀνακρέοντα τὸν Τήϊον πεντηκόντορον στείλας ἐκόμισεν εἰς τὴν πόλιν, Σιμωνίδην δὲ τὸν Κῖον περὶ αὐτὸν ἀεὶ εἶχε, μεγάλοις

4. SOC. Vides igitur quod decipere me conaris, de induſtria dicens contraria his quæ paulo antea confeſſi ſumus. HIP. Non per Jovem, O Socrates, ſed vice verſa tu me decipis, & haud ſcio quo me in ſermonibus ſurſum ac deorſum vertis. SOC. Bona verba quæſo. Neque enim recte facerem ſi bono ac ſapienti viro non obedirem. HIP. Cui vero, & quanam maxime in re? SOC. Civi & meo & tuo Piſiſtrati in Philædone filio Hipparcho, qui inter Piſiſtrati filios natu maximus & ſapientiſſimus erat, & tum alia multa præclara ſapientiæ opera perpetravit, tum Homeri ſcripta primus in hanc terram intulit, & rhapſodos in Panathenæis illa memoriter ex ordine recitare coegit, id quod etiam nunc illi faciunt. Et miſſa quinquaginta remorum navi, Anacreontem Teium in civitatem hanc invexit. Simoniden autem Ceum magna mercede & muneribus perſuaſum, ſemper apud

